Αὐτόγραφα

τοῦ Διδάκτορος καὶ ἱππότου

Κωνσταντίνου

Α. Φ. Σιμωνίδου

ἐξαχθέντα ἐξ ἐπιστολῶν καὶ ἑτέρων αὐτοῦ ἐγγράφων, καὶ περιέχοντα ποικίλην ἀρχαιολογικὴν ὕλην λίαν σπουδαίαν, ἅπερ καὶ ἐκδίδονται αὐτογραφία ὑπὸ

Καλλινίκου Ἱερομονάχου τοῦ

Θεσσαλονικέως

τῇ ἀδείᾳ τοῦ Συγγραφέως

καὶ

Κωνσταντίνῳ τῷ Α', πρώην Κωνσταντινουπόλεως πατριάρχῃ, ἀνδρὶ σοφῷ λίαν καὶ παντοίᾳ ἀρετῇ κεκοσμημένῳ, ἐς εὐγνωμοσύνης ἀϊδίου τεκμήριον πανευλαβῶς καθιεροῦνται ὑπὸ τοῦ ἐκδότου καὶ ταπεινοῦ αὐτοῦ θεράποντος.

„Ἀλλ' οὔπως ἅμα πάντα δυνήσεαι αὐτὸς ἑλέσθαι.
„ἄλλῳ μὲν γὰρ ἔδωκε θεὸς πολεμήϊα ἔργα·
„ἄλλῳ δ' ὀρχηστὺν, ἑτέρῳ κίθαριν καὶ ἀοιδήν.
„ἄλλῳ δ' ἐν στήθεσσι τιθεῖ νόον εὐρύοπα Ζεὺς
„ἐσθλόν, τοῦ δέ τε πολλοὶ ἐπαυρίσκοντ' ἄνθρωποι·

Ὅμηρος ἐν Ἰλιάδος Ν στίχ: ψκθ.

Ἔκδοσις πρώτη.

Ἐν Μόσχᾳ.

ἔτει σωτηρίῳ ͵αωνγ'.

μηνὸς Αὐγούστου η'.

Σιμωνίδης ὁ Σίμωνος τοῦ Εὐαγγελίτου καὶ Μαρίας τῆς Συμαίας υἱός, ὁ τοῦ Κώνστα, ὁ τοῦ Φωτίου, ὁ τοῦ Κωνσταντίνου, ὁ τοῦ Φωτοχάρους, ὁ τοῦ Ἀνδρονίκου, καὶ ὀγδοηκοστὰ ἔτι καὶ ὀκτὼ προπατόρων ἀπόγονος ἐγεννήθη τῷ ͵αωκ' Νοεμβρίου πέμπτῃ ἐν Ὕδρᾳ τῇ νήσῳ, ἐν μάλιστα ἐν τῷ πολεμικῷ πλοίῳ τοῦ πατρὸς αὐτοῦ, τῷ καὶ τὴν ἐπωνυμίαν τοῦ Ἄρεως φέροντι, καθ' ὃν καιρὸν ἐξῆπλε τοῦ λιμένος καὶ ἔπλεεν ὡς ἐπὶ Σύμην τὴν πατρίδα τῆς μητρὸς τοῦ γεννηθέντος. Τοῦ πλοίου δὲ ἐλλιμενισθέντος εἰς Σύμην μετὰ ἡμέρας τέσσαρας βαπτίζεται ἐς Χριστὸν ὁ γεννηθεὶς τῇ κε' τοῦ Νοεμβρίου καὶ Κωνσταντῖνος ἐπικαλεῖται. Ἀνεδέχθη δ' αὐτὸν ἐκ τῆς ἱερᾶς κολυμβήθρας ὁ ναύαρχος Ἀνδρέας Μιαούλης διὰ τῆς κυρίας Χ. Δεσποίνης καλουμένης (ἐὰν οὐκ ἀπατᾶμαι κατὰ ἡ μνήμη) οὐκ ἦν γὰρ παρὼν ὁ ἥρως Μιαούλης τότε ἀσθενείας ἕνεκα. Ἀνατραφεὶς δὲ καὶ ἀκουστὴς γενόμενος τῶν τότε τῆς Ἑλλάδος μάλα πεπαιδευμένων, οἷον φημὶ Φιλεταίρου τοῦ γραμματικοῦ, τοῦ σοφοῦ Νεοφύτου Δούκα, Γρηγορίου Κωνσταντᾶ τοῦ ἐν λόγοις δεινοῦ, Ῥήγα τοῦ μαθηματικοῦ ἐκγόνου, Βενεδίκτου τοῦ παντοίᾳ σοφίᾳ καὶ ἀρετῇ κεκοσμημένου, Ἰωάννου Φωτιάδου Συμαίου τοῦ μουσοτραφοῦς, τοῦ καὶ Ἱεροθέου ὕστερον ἐπικληθέντος, καὶ ἐπὶ πᾶσι Ἀλεξάνδρου Στούρτζα τοῦ κλεινοτάτου διδάκτωρ ἀνηγορεύθη τῆς φιλοσοφίας, τὸ περὶ τῆς Χαλκιδικῆς Χερσονήσου συγγραψάμενος πρότερον ἀρχαιολογικὸν σοφὸν σύγγραμμα. Ἠμέλησε δὲ οὐδὲ τὰς ὡραίας τέχνας αὐτάς, ἀλλὰ καὶ ταύτας ἐπεμελήθη καὶ τὰ μάλιστα ηὐδοκίμησε, φοιτήσας τὰ μὲν πρῶτα παρά τισι τῶν ἀριστοτεχνῶν τοῦ Ἄθω Δαμασκηνῷ καὶ Γενναδίῳ, μετὰ δὲ ὕστερον καὶ παρ' ἄλλοις, καὶ ἰδίως παρὰ τῷ Γάλλῳ Βιτάλῃ ἑνὶ τῶν περιφήμων μαθητῶν τοῦ περιβοήτου Γάλλου Δαυίδ.

Τῷ δὲ ͵αωλγ' ἔτη ὢν ιγ' ὀδηγίᾳ, ὑπὸ τὴν κηδεμονίαν τοῦ μυστικοῦ συμβούλου τοῦ Αὐτοκράτορος Νικολάου Ἀλεξάνδρου Στούρτζα, ἀπῆρεν ἐς Τραπεζοῦντα (πολιτικῶν ὑποθέσεων ἕνεκα) κελεύσει τοῦ Στούρτζα, ἔνθα μικρὸν διατρίψας χρόνον, καὶ τὴν πέριξ χώραν περιελθών, ἀπῆλθεν ἐς τὴν τοῦ Σουμελᾶ Ἑλληνικὴν μονήν. Ἐντεῦθεν δὲ ἐπανελθὼν αὖθις ἐς Τραπεζοῦντα, ἤρξατο ἐντεῦθεν περιερχόμενος τακτικῶς ἁπάσας τὰς παραλίους πόλεις καὶ τὰ πολίχνια τοῦ Εὐξείνου Πόντου, κατηχῶν πάντα κατηχήσεως ἄξιον, ὀρθόδοξον Ἕλληνα κατὰ τῶν βαρβάρων Τούρκων, ἅμα δὲ καὶ συγγράφων τὴν Ποντικὴν ἐξηγιάδα σύγγραμμα ἀρχαιολογικὸν περισπούδαστον. Καταντήσας δὲ ἐς Χαλκηδόνα (Σκούταρι τανῦν), εἰς Βυζάντιον ἀπῆλθε, καὶ ἐς Ἡράκλειαν ἐντεῦθεν. Ἀπὸ δὲ Ἡρακλείας ἄρας, καὶ πᾶσαν τὴν Θρακικὴν παραλίαν διαδραμών, εἶτα δὲ καὶ τὴν Θρακικὴν Χερσόνησον τήν τε ἐκτὸς τοῦ Ἑλλησπόντου καὶ τὴν ἐντός, καὶ ἐν τῇ ἀρχαίᾳ Λυσιμαχίᾳ, τῇ ἐπὶ τῶν ἐρειπίων τῆς Καρδίας πόλεως ποτὲ κτισθείσῃ ἐπελθών, καὶ μικρὸν ἀναπαυθεὶς ἀπῆρε καὶ ἐντεῦθεν μεθ' ἡμέρας τρεῖς καὶ ἐς Ἕβρον ἀφίκετο τὸν ποταμόν. Ἔνθα ἀσθενήσας καὶ ἀναλαβὼν ἐπεσκέψατο τὰ ἐρείπια τῶν ἀρχαίων τῆς περίδος πόλεων καὶ τὰς τῶν ἐν τῷ Στρυμονικῷ

κόλπῳ καὶ εἶτα ἔρχεται καὶ εἰς Στάγγερα τὴν ἔνδοξον πατρίδα τῶν προγόνων αὐτοῦ. Ἐντεῦθεν δὲ εἰς Ἄθωνα τὸ ὄρος τὸ τρίτον ἔρχεται, ἔνθα διατρίψας χρόνον τινὰ γράφει συνοπτικῶς τὴν ἱστορίαν τῆς ἁγιογραφίας, καὶ τῆς τῶν Ἀθωνιτῶν ἁγιογράφων, ἀπανθίσας αὐτὴν ἐκ τῶν ἐκεῖ φιλολογικῶν θησαυρῶν, ἣν καὶ ἀπέστειλε τῷ Ἐπουέρτζι (τῇ προτροπῇ γὰρ ἐκείνου καὶ ἐγράφη) ἐν ἄλλοις αὐτοῦ ἀρχαιολογικοῖς ὑπομνήμασιν. Ὕστερον καὶ ἐπεξεργασθεῖσα παραδίδεται καὶ αὕτη τῷ τύπῳ ἐν ἄλλοις τοῦ αὐτοῦ ἀνδρὸς ἀρχαιολογικοῖς ὑπομνήμασιν. Ἀναχωρήσας δὲ καὶ ἐξ Ἄθωνος τὰς περὶ τὸ ὄρος τοῦτο νήσους ἐπισκέπτεται πάσας, καὶ τῶν Σποράδων τινάς, καὶ τὴν παράλιον Καρίαν καὶ μικρὸν τῆς Λυκίας μέρος. Ἀπὸ δὲ Λυκίας εἰς Κύπρον ἐπανέρχεται (ἦν γὰρ καὶ ἄλλοτε) καὶ εἰς Ἀλεξάνδρειαν ἐντεῦθεν τὸ δεύτερον. Ἀπὸ δὲ Ἀλεξανδρείας εἰς Κάιρον καὶ Σίναιον ὄρος ἐγένετο τῷ ͵αωμϛ' μηνὶ Ἰανουαρίῳ. Ἐν τῇ τοῦ ὄρους δὲ τούτου ἑλληνικῇ μονῇ ἀναπαυθεὶς ἐπὶ μικρὸν καὶ πολλοῦ λόγου ἄξια ἀνακαλύψας γράφει περὶ αὐτῶν τῷ πατριάρχῃ Κωνσταντίῳ, καὶ ἀπέρχεται αὖθις εἰς Κάιρον, καὶ πάλιν ἀνακάμπτει εἰς Σίναιον μαρτίῳ μηνί. Περιελθὼν δὲ ἀκριβῶς καὶ τὸ Σίναιον ὄρος καὶ τὴν πέριξ αὐτοῦ χώραν, εἶτα δὲ καὶ τὴν Κασσανιτῶν διαδραμὼν πᾶσαν, καὶ τὴν τῶν Ἐλισσαρίων, καὶ μέχρι τῆς Παλινδρομίου ἄκρας ἀφιχθεὶς ἀρχαιολογικῶν ἐρευνῶν ἕνεκα μετέβη διὰ τῆς τῶν Ἡρωοπολιτῶν θαλάσσης (τῆς κοινῶς Ἐρυθρᾶς καλουμένης) εἰς Φιλωτέραν τὴν πόλιν τὴν ἐν τῇ Τραγλοδυτικῇ, καὶ ἐντεῦθεν εἰς Λευκὸν Ὅρμον ἐγένετο, καὶ εἰς Κοπτὸν πόλιν ὕστερον. Ἀπὸ δὲ Κοπτοῦ εἰς Θήβας ἔρχεται, ἔνθα καταστρέψας τρεῖς ὅλους μῆνας εἰς τὰς Φιλὰς νήσους τὰς ὑπὲρ τὴν Συήνην πόλιν, ἀπέρχεται καὶ ἐντεῦθεν μετὰ μῆνας ἐπεὶ εἰς Ἀλεξάνδρειαν ἐπανέκαμψεν ἐν τρισὶ κιβωτίοις σημειώσεων ἀρχαιολογικῶν. Διελθὼν δὲ ὕστερον καὶ τὴν Συρίαν πᾶσαν, καὶ τὴν Μεσοποταμίαν καὶ τὴν Πετραίαν Ἀραβίαν, καὶ τὸ Λιβάνιον ὄρος, ἅμα δὲ καὶ τὸ Ἀντιλίβανον καθάπερ καὶ τὴν Παμφυλίαν καὶ τὴν Κιλικίαν, ἀπῆλθεν ὕστερον εἰς Βαβυλῶνα καὶ ἐντεῦθεν εἰς Περσίαν. Ἀπὸ δὲ Περσίας εἰς Ῥωσσίαν αὖθις ἐπανῆλθεν ὑγιής. Τῷ δὲ ͵αωμζ' εἰς Βυζάντιον, Βιθυνίαν, Μυσίαν. Καὶ εἰς Ἑλλάδα τὴν ἐλευθέραν, ἔνθα καὶ μάρτυς ἐγένετο τῶν ψευδαποστόλων Ἀμερικανῶν καὶ τὴν Ἑλλάδα ἀπήλλαξε τῆς λύμης τῶν κακούργων τούτων. Εἶτα δὲ εἰς Ἤπειρον μεταβαίνει καὶ Θεσσαλίαν καὶ Μακεδονίαν, καὶ αὖθις εἰς Βυζάντιον, εἰς Ὀδησσὸν καὶ Πετρούπολιν καὶ πάλιν εἰς Βυζάντιον διὰ τῆς Τσεχανίας. Ἀπὸ δὲ Βυζαντίου εἰς Σμύρνην τῷ ͵αωμη' καὶ εἰς Ἀθήνας αὖθις καὶ εἰς ἄλλας πόλεις καὶ νήσους τῆς δούλης Ἑλλάδος. Καὶ εἶτα εἰς Ἀλεξάνδρειαν, καὶ Κάιρον καὶ Σίναιον τὸ ὄρος τῷ ͵αωνε' μαρτίῳ μηνί. Ἀφ' ὅρους ἔγραψεν ἡμῖν δέκα ἐπιστολὰς περὶ διαφόρων ἀντικειμένων πραγματευομένας, ὥσπερ καὶ ἐξ ἄλλων χωρῶν πρίν τε καὶ ὕστερον, ἐξ ὧν δημοσιεύσομεν τὰς φιλολογικὴν ὕλην περιεχούσας μόνον, ἅμα δὲ καὶ τὰς πρὸς τὸν Κωνστάντιον καὶ τὰς πρὸς

τὸν Στούρτζαν ἥτις (Θεοῦ θέλοντος) δημοσιευθήσεται. Ἐπέμφθη δὲ ὁ Σιμωνίδης καὶ εἰς Ἀβυσσινίαν ἀπὸ Σιναίου ὄρους μετὰ δύο ἀρχιμανδριτῶν Ἑλλήνων ἔνθα τὰ κατὰ τῆς ὀρθοδοξίας σχέδια τῶν Ἰησουϊτῶν τῆς λατινικῆς ἐκκλησίας ματαιώσας καὶ τὴν ἑλληνικὴν θρησκείαν στερεώσας ἐπανῆλθεν αὖθις εἰς Ἀλεξάνδρειαν καὶ εἰς Μελίτην ἐπέστρεψεν. Ἀπὸ δὲ Μελίτης εἰς Καρχηδόνα καὶ τὴν πέριξ αὐτῆς χώραν, καὶ εἶτα αὖθις εἰς Μελίτην καὶ Σικελίαν, καὶ ἐντεῦθεν εἰς ἄλλας πόλεις, καὶ νήσους τῆς Εὐρώπης ἐπορεύθη καὶ ἐπὶ τέλους καὶ εἰς Λιβερπούλην πόλιν ἀγγλικὴν κατῴκησε τῷ ᾳωνγ΄ καὶ εἰς Λονδῖνον ὕστερον καθὰ τὸ πρὸς τὸν Στούρτζαν ἀρχαιολογικὸν σπουδαιοδρόμιον αὐτοῦ φησίν· ἀφ' οὗ καὶ ἡμεῖς τὰ ἀνωτέρω ἠρανίσθημεν πάντα καὶ τῇ συναινέσει τοῦ ἐξοχωτάτου Ἀλεξάνδρου Στούρτζα ἐκδίδομεν ταῦτα, οὐδαμῶς ἀμφιβάλλοντες ὅτι καὶ Σιμωνίδης αὐτὸς ἐπαινέσει τὴν ὑπὲρ τοῦ καλοῦ προθυμίαν ἡμῶν, ᾧ καὶ Σιμωνίδης παιδιόθεν ἀφιερώθη.

Ἔγραφον ἐν Μόσχᾳ τῇ πρώτῃ Αὐγούστου τοῦ ἔτους
ᾳωνγ΄.

+ Καλλίνικος Ἱερομόναχος

=1=

+ Πνευματικέ μου Πάτερ,

Τὴν πατρικήν ἐπιστολήν σου Εὐσέβιος, ὁ σὸς ὑποτακτικός ἡμέτερος δὲ μαθητὴς ἐνεχείρισέ μοι σήμερον· καὶ ἰδοὺ λέγω σοι ἐν πρώτοις, ὅτι ἔχεις τὴν ἄδειαν τοῦ δημοσιεῦσαι αὐτογραφίᾳ τὰς ἡμετέρας φιλολογικὰς ἐπιστολὰς πάσας, οὐχὶ δὲ καὶ τὰς πολιτικάς. Τὸ δὲ ἀντίγραφον τῶν πρὸς τὸν Στούρτζαν καὶ τῶν πρὸς τὸν πανογιώτατον Κωνστάντιον σταλεισῶν ἐπιστολῶν μου ἐκεῖνοι, εἰ ἐγκρίνωσι (καὶ οὐκ οἶδα τί τὸ κωλύον) δώσουσί σοι. Γράφω δὲ κἀγὼ αὐτοῖς σήμερον διὰ σοῦ περὶ τούτου. Καὶ γὰρ παρ' ἐμοὶ οὐδεμιᾶς εὑρίσκεται ἐπιστολῆς ἀντίγραφον.

Περὶ δὲ τοῦ χριστιανικοῦ ναοῦ, τοῦ κτισθέντος ἐν τῇ τῶν Ἡρώων πόλει, ὑπὸ τοῦ αὐτοκράτορος Ἰουστινιανοῦ οὐδὲν ἕτερον γινώσκω πλὴν τοῦ ἑξῆς. Ἡ πόλις αὕτη κατὰ τὰς ἱερογλυφικὰς τῶν Αἰγυπτίων μαρτυρίας λέγεται ὅτι ἐκτίσθη τὸ πρῶτον ὑπὸ Σεσώστρεως, καθὰ καὶ τὸ ἐν αὐτῇ πρὸ δύο ἐτῶν ἀνεσκαφὲν ἐπιγεγραμμένον ἱερογλυφικὸν μνημεῖον. Ἐκλήθη δὲ οὕτως ὅτι ἐνταῦθα κατετροπώσατο τοὺς τῶν Ἀράβων ἥρωας ὁ Σέσωστρις.

Ὁ δὲ Στέφανος ὁ Βυζάντιος ἩΡΩ καλεῖ αὐτήν, ἐκλήθη δέ ποτε (φησὶν ὁ αὐτὸς) καὶ ΑἹΜΟΣ διὰ τὸν Τυφῶνα ἐντεῦθεν κεραυνῷ βληθῆναι καὶ αἷμα ῥυῆναι. Στράβων δὲ καὶ ἄλλοι Ἡρώων πόλιν αὐτὴν καλοῦσιν.

Ἔκειτο δὲ αὕτη πλησίον τῆς Ἀρσινόης ἐν τῷ μυχῷ τοῦ Ἀραβίου κόλπου τῷ πρὸς Αἴγυπτον κατὰ τὴν τοῦ Στράβωνος μαρτυρίαν (ὅρα ἐν βιβλίῳ ΙΖ΄)

Ἐν ταύτῃ οὖν ἦν ἱερὸν μεγαλοπρεπὲς Ἄρεως οἰκοδομηθὲν ὑπὸ Σεσώστρεως καὶ ἀνακαινισθὲν ὑπὸ Πτολεμαίου τοῦ Εὐεργέτου τῷ τρίτῳ ἔτει τῆς αὐτοῦ βασιλείας ἤτοι τῷ ΣΜΓ΄ πρὸ Χριστοῦ. Ἐν δὲ ταῖς ἡμέραις τοῦ Ἰουστινιανοῦ τοῦ μεγάλου μετεσκευάσθη καὶ καθιερώθη Γεωργίῳ τῷ τροπαιοφόρῳ, καθάπερ καὶ ἡ ἐπιγραφή, ἡ ἐν τοῖς ἐρειπίοις τῆς αὐτῆς πόλεως ἀποδείκνυσι τοῦτο, καὶ μάλιστα τὰ ἐν τῇ μονῇ τοῦ Σιναίου ὄρους ἔγγραφα ἐπιβεβαιοῦσιν. Ἡ δὲ ἐπιγραφὴ ἔχει ὡς ἑξῆς:

« + Τὸν ναὸν τόνδε τὸν μεγαλοπρεπῆ Ἰουστινιανὸς ὁ ἐν Χριστῷ βασιλεὺς καὶ Θεοδώρα ἡ σύζυγος αὐτοῦ ἀνενέωσαν καὶ κατεκόσμησαν ἀναθήμασιν ἱεροῖς, τῇ ἐπιμελείᾳ τοῦ τῶν Ἡρωοπολιτῶν ἐπισκόπου Ἀμμωνος καὶ τῷ τοῦ Θεοῦ μεγαλομάρτυρι καὶ τροπαιοφόρῳ Γεωργίῳ ἀνέθηκαν τῷ ϚΜΕ΄ (=537 μ.Χ.) ἔτει μαρτίου πρώτῃ, πέμπτῃ δὲ καὶ δεκάτῃ τῆς ἐπινεμήσεως.»

Καὶ οὕτως ἔχει τὰ τῆς ἐπιγραφῆς. Ὁ δὲ ναὸς οὗτος διετηρήθη ἑξακόσια ὅλα ἔτη καὶ κατεσκάφη ὑπὸ τῶν βαρβάρων. Ἕτερον δὲ οὐδὲν γινώσκω περὶ τούτου. Αἱ δὲ τρεῖς ἑλληνικαὶ ἐπιγραφαί, αἱ πρὸ Χριστοῦ γραφεῖσαι καὶ παρὰ τῷ ναῷ τοῦ ἁγίου Γεωργίου ἀνασκαφεῖσαι, ἔχουσιν ὧδε:

α΄. « Ἄρει Θεῷ πολιούχῳ Πρωτόμαχος.»
β΄. « Ὁ δῆμος Ἡρωοπολιτῶν τὸν ὑποφήτην Ἄρεως Ἀμμώνιον
« Ἀμμωνίου τὸν Ἡρωοπολίτην ἀρετῆς ἕνεκα καὶ τῆς πρὸς
« τὸ θεῖον ἐπιμελείας.»
γ΄. « Ὁ δῆμος Ἡρωοπολιτῶν Ἴσιδα τὴν Ἱέρειαν».

Καὶ ταῦτα μὲν περὶ τούτων· ἡ δὲ περὶ τοῦ Παναγίου Πνεύματος ΣΥΝΟΨΙΣ τοῦ Νικολάου Μεθώνης ἐπιγράφεται ὧδε.

« ΣΥΝΟΨΙΣ Νικολάου Ἐπισκόπου Μεθώνης, τῶν ὡς ἐπὶ λόγῳ τῶν κατὰ πλάτους Φωτίῳ Κωνσταντινουπόλεως τῷ Χρυσοῤῥήμονι γεγραμμένων Περὶ τοῦ Παναγίου Πνεύματος». Ἄρχεται δὲ ἐντεῦθεν.

« Προφασίζονται ὅτι Ἀμβρόσιος οὕτως εἴρηκεν ἐν τοῖς περὶ αὐτῶν λόγοις, ἔτι δὲ Αὐγουστῖνος καὶ Ἱερώνυμος· ὑπὲρ ὧν ἀπολογητέον, ὡς ἢ νενοθεύκασιν οἱ Πνευματομάχοι τὰς τούτων γραφάς, ἢ κατ' οἰκονομίαν ἴσως εἰρήκασι· ἢ καὶ ὁ Μέγας ἐχρήσατο Βασίλειος παρ' ἑαυτῷ φυλάττων ἀπόρρητον μέχρι τινός, τοῦ Παναγίου Πνεύματος τὴν θεολογίαν, ἢ καὶ τῆς ἀκριβείας παρεσύρησαν· ὃ πολλοὶ πεπόνθασι τῶν μεγάλων ἔν τισι ζητήμασιν, ὡς ὁ Ἀλεξανδρείας Διονύσιος, καὶ Μεθόδιος ὁ Πατάρων, καὶ Πιέριος, καὶ Πάμφιλος, καὶ Θεόγνωστος, καὶ Εἰρηναῖος ὁ Λουγδούνων, καὶ Ἱππόλυτος ὁ αὐτοῦ μαθητής. Τινὰς γὰρ αὐτῶν ῥήσεις οὐκ ἀποδεχόμεθα, καίτοι τἄλλα σφόδρα θαυμάζοντες. Εἶπον οἱ τρεῖς, ὡς Ῥωμαῖοι λέγουσιν· οἱ δὲ τῶν ἑπτὰ Οἰκουμενικῶν ἁγίων συνόδων ἅγιοι ἀρχιερεῖς οὐκ εἶπον. Τὸν γὰρ τῆς πίστεως ἡμῶν ἱερὸν ὅρον, πᾶσαι κατὰ διαδοχὰς ἐβεβαίωσαν· αἷς οἱ πρόεδροι καὶ λαμπτῆρες τῆς Ῥωμαϊκῆς ἐκκλησίας, ἀναντιῤῥήτως συνεψηφίσαντο καὶ δόγμα τεθείκασι μηδὲν ἔτι προστεθῆναι, μήτε ἀφαιρεθῆναι τοῦ ῥηθέντος ὅρου τῆς πίστεως· ἀλλὰ καὶ τὸν κατατολμήσαντα παντάπασιν ἀποῤῥαγῆναι τῆς ἐκκλησίας. Ὁ μέντοι θεῖος Γρηγόριος ὁ Διάλογος, οὐ πολὺ μετὰ τὴν ἕκτην Σύνοδον ἀκμάσας, Ῥωμαϊκῇ φωνῇ καὶ γράμμασιν ἐθεολόγησεν ἐκ τοῦ Πατρὸς μόνου ἐκπορεύεσθαι τὸ Πνεῦμα τὸ ἅγιον. Ζαχαρίας

δὲ πέντε καὶ ἑξήκοντα καὶ ἑκατὸν ὕστερον ἔτεσι τὰ συγγράμματα τοῦ Διαλόγου δι' Ἑλληνίδος ἑρμηνεύων φωνῆς· τὸ παράκλητον πνεῦμα, φησιν, ἐκ τοῦ Πατρὸς προέρχεται, καὶ ἐν τῷ Υἱῷ μένει· παρὰ τοῦ Προδρόμου τοῦτο μαθών· ἰδόντος τὸ Πνεῦμα καταβαῖνον ὡσεὶ περιστερὰν καὶ μένον ἐπ' αὐτόν. Λέων δὲ καὶ Βενέδικτος οἱ μεγάλοι Ῥώμης ἐς ὕστερον ἀρχιερεῖς Ἑλληνιστὶ κατὰ τὴν ἱερὰν μυσταγωγίαν ἐκφωνεῖσθαι τὸ σύμβολον τῆς πίστεως ἔν τε Ῥώμῃ κ(αὶ) ταῖς ἄλλαις ταῖς ὑπὸ τὴν ταύτην ἐκκλησίαις ἐνομοθέτησαν, ἵνα μὴ τὸ στενὸν τῆς διαλέκτου βλασφημίας παράσχῃ πρόφασιν. Οὗτος δὲ ὁ Λέων καὶ τὸ θησαυροφυλάκιον τῆς Ἀποστολικῆς ἀνοίξας Ἐκκλησίας Ῥωμαίων, ἀσπίδας δύω συναποτεθησαυρισμένας τοῖς ἱεροῖς κειμηλίοις, ἐξήνεγκεν Ἑλληνικοῖς γράμμασι καὶ ῥήμασιν ἐχούσας τὴν εὐσεβῆ τῆς πίστεως ἔκθεσιν καὶ ταύτας ἐνώπιον ἀναγνωσθῆναι τοῦ Ῥωμαϊκοῦ πλήθους ἐδικαίωσε· καὶ μέχρι τοῦ εὐσεβοῦς Πατριάρχου Κωνσταντινουπόλεως Σεργίου, οἱ Ῥώμης ἀρχιερεῖς ἐν ἀρχῇ τῆς ἀρχιερωσύνης συστατικὴν τῆς ἑαυτῶν θρησκείας ἐκπέμποντες ἐπιστολὴν εἰς πάντας τοὺς πατριαρχικοὺς θρόνους, τὸ σύμβολον τῆς πίστεως ἀπαραλλάκτως ἐνέταττον. Καὶ τί δεῖ τὰ πολλὰ λέγειν· ὁ Υἱὸς καὶ Δεσπότης τὸ Πνεῦμα ἐκ τοῦ Πατρὸς ἐκπορεύεσθαι μυσταγωγεῖ. Καὶ ὁ μέγας δὲ Παῦλος αὖθις ἀποφαίνεται λέγων· "Κἂν ἡμεῖς, ἢ ἄγγελος ἐξ οὐρανοῦ εὐαγγελίζεται ὑμῖν παρ' ὃ εὐαγγελισάμεθα ὑμῖν ἀνάθεμα ἔστω." Τί δὲ ἐπιζητεῖ διδάσκαλον ἄλλον, εἰ μὴ προφανῶς μέμηνεν;"

Καὶ ἐπὶ τούτοις μὲν καταλήγει ἡ ΣΥΝΟΨΙΣ. Ἀπαντᾶται δὲ αὕτη οὐ μόνον ὡς ἀνεξάρτητον τοῦ Μεθώνης συγγραμμάτιον, ἀλλὰ καὶ ὡς συνέχεια τοῦ δευτέρου μέρους τοῦ πρώτου περὶ ἐκπορεύσεως τοῦ παναγίου πνεύματος συλλογιστικοῦ αὐτοῦ λίαν σοφοῦ λόγου. Ἐπιγράφεται δὲ τὸ δεύτερον μέρος ὧδε· « Πάλιν περὶ τῶν αὐτῶν τοῦ Φωτίου πατριάρχου."

Διαιρεῖται δὲ τοῦτο εἰς πολλὰ κεφάλαια, ὧν τὰ πρῶτα πέντε ἐστὶ τάδε:

« α'. Εἰ ἁπλοῦν μὲν τὸ Πνεῦμα, ἐκ τοῦ Πατρὸς δὲ καὶ τοῦ Υἱοῦ ἐκπορεύεται· πάντῃ οὖν οὗτοι ἐννομισθεῖεν ἂν πρόσωπον· κἀντεῦθεν εἰσαχθήσονται συναδελφοὶ Σαβέλλιος ἢ μᾶλλον εἰπεῖν Ἡμισαβέλλιος!" [Ἐ]πάντως ἓν οὗτοι νομισθεῖεν ἂν πρόσωπον· κἀντεῦθεν εἰσαχθήσεται συναδελφὴ κτλ. οὕτως ἐν τῷ τοῦ Ἄθωνος ἔχει χειρογράφῳ.]

« β'. Εἴπερ ἐκ τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ ἐκπορεύονται, διπλοῦν ἂν εἴη καὶ σύνθετον τοῦτο."

« Γ'. Εἰ πρὸς δύω ἀρχὰς ἀναχθήσεται τὸ πνεῦμα, ποῦ τὸ πολυύμνητον ἔσται τῆς μοναρχίας;"

« Δ'. Εἰ προβάλλεται μὲν ὁ Πατὴρ τὸ Πνεῦμα· προβάλλεται δὲ τοῦτο καὶ ὁ Υἱός, εἴη ἂν ὁ πατὴρ καὶ προσεχὴς τοῦ πνεύματος προβολεὺς καὶ πόρρω διὰ τὴν ἐκ τοῦ Υἱοῦ προβολήν."

« Ε'. Εἴπερ ἐκ τοῦ Πατρὸς ἡ ἐκπόρευσις τοῦ ἁγίου πνεύματος ἐντελής, περιττὴ ἄρα ἡ ἐκ τοῦ Υἱοῦ."

Ἐκ τῶν πέντε οὖν κεφαλαίων τούτων καταδεικνύεται ἀριδήλως τὸ ἰσχυρὸν τοῦ λόγου τοῦ πανσόφου ἐκείνου πατριάρχου Φωτίου. Τὸ σύγγραμμα δὲ τοῦτο ἀνέκδοτον ὂν ἄχρις ἡμέρας, μεγάλην παρέξει ὠφέλειαν εἰ δημοσιευθήσεται ποτε.

Περὶ δὲ τοῦ "πῶς χρὴ νοεῖν τὸν ἐν τῷ ἁγίῳ συμβόλῳ λεγόμενον, "σαρκωθέντα ἐκ πνεύματος ἁγίου καὶ Μαρίας τῆς παρθένου" κτλ, τάδε Βλεμμύδης ὁ Νικηφόρος φησίν·

« Ὁ τοῦ Θεοῦ λόγος οὐσία πλήρης ὑπάρχων, Θεὸς γὰρ καὶ ὑπόστασις ὅλος ἀνελλιπής· υἱὸς γάρ, κενωθεὶς μέν, σπορὰ γέγονε τῆς οἰκείας σαρκός· ἀρρήτῳ δὲ συλλήψει συντεθείς, αὐτὸς ὑπόστασις γέγονε τῆς προσληφθείσης, ἐκ τῶν παρθενικῶν αἱμάτων σαρκός· προκαθαρθείς, κατὰ τὴν θεολόγον φωνὴν τῆς παρθένου, καὶ ψυχὴν καὶ σάρκα, τῷ πνεύματι."

Καὶ τοσαῦτα μὲν καὶ περὶ τούτου· περὶ δὲ τοῦ ῥήτορος τῆς ἐκκλησίας ἡμῶν Κοσμᾶ Βεστήτορος οὐδὲν εἰπεῖν σοι δύναμαι ἐν τῷ παρόντι βέβαιον, εἰ μὴ ὅτι σοφὸς ἀνὴρ ὢν καὶ αὐτὸς ὁμολογουμένως, ἔγραψε λόγους πανηγυρικοὺς εὐφραδεῖς λίαν οὐκ ὀλίγους, καὶ ἀπήγγειλεν αὐτοὺς ἀπὸ τοῦ ἱεροῦ ἄμβωνος, ἐξ ὧν εἷς ἐστι καὶ ὁ ἐν τῇ κενῇ βίβλῳ τοῦ πανηγυρικοῦ τῆς τοῦ Ῥοσσοῦ μονῆς, ὃν καὶ ἀφήρεσα, καθὰ καὶ σὺ γινώσκεις τοῦτο, ὅπως γράψω τὸ πρὸς τὸν αὐτοκράτορα Νικόλαον δῶρον τῆς τε παλαιᾶς καὶ νέας Διαθήκης κτλ., καὶ ὅπερ ἤδη εὑρίσκεται ἐν τῇ τοῦ Σιναίου βιβλιοθήκῃ ἀτελὲς, ἐλλειπές, μετεμφιασμένον. Ὁ δὲ αἴτιος τοῦ κακοῦ τούτου ἀγνοεῖται εἰσέτι! Ὁ δὲ περὶ οὗ ὁ λόγος ΛΟΓΟΣ ΤΟΥ ΒΕΣΤΟΥ ἐστι καὶ οὗτος, καθόσον ἐγὼ οἶδα, ἀδημοσίευτος.

ἄρχεται δὲ ἐντεῦθεν: "Κοσμᾶ Βέστορος τοῦ σοφωτάτου λόγος ἐγκωμιαστικὸς εἰς τὴν ἐπάνοδον τοῦ λειψάνου τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Ἰωάννου τοῦ Χρυσοστόμου".

« "Ἤκουσται πάντως ὑμῖν, ὦ φιλόπιστος πανήγυρις κ(αὶ) φιλάγιον ἄθροισμα, τὰ μεγαλεῖα τοῦ Θεοῦ καὶ τοὺς λίθους αὐτοὺς κεκραγέναι· τουτέστιν, ὅτι καὶ οἱ λιθίνης καρδίας ἀνάμεστοι ἐξ αὐτῆς τῆς φύσεως δοξολογεῖν τὸν Θεὸν ἐκπαιδεύονται" κτλ. — λήγει δὲ ἐπὶ τοῖς ἑξῆς ῥήμασιν·

--" Ὅθεν κἂν ποθητὸς τοῖς ἀνθρώποις ὁ χρυσός· δεῖ ἀνθρώπῳ φρονίμῳ χρυσὸν καὶ βίβλον σὴν διδακτικὴν κ(αὶ) ἀφήσας τὸν χρυσὸν (α) τοὺς σοὺς περιπλέκεται λόγους· ὅτι καθ' ἡμέραν ἑαυτῷ θησαυρίζει· ὁ ταῖς σαῖς πειθόμενος διδαχαῖς, οὐ φοβεῖται γέενναν. Τὴν πίστιν στήριξον, ταῖς ἐκκλησίαις ἕνωσον, τὴν ἱερωσύνην καταλάμπρυνον, τὸν βασιλέα περιτείχισον, τὴν οἰκουμένην εἰρήνευσον, τὸν λαόν σου ταῖς σαῖς διαφύλαξον πρεσβείαις· ὁ γὰρ θέλων καὶ μετὰ θάνατον τὴν ὄντως ζῆσαι ζωήν, καὶ ταῖς διδασκαλίαις σου πείθεται, καὶ τὰς σὰς εὐχὰς ἐπιζητεῖ, δι' ὧν ἀπὸ τῆς γῆς ἀνυψούμενος, συνοικεῖν καταξιοῦται· ᾧ ἡ δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν."

"Ἔγραψε δὲ ὁ αὐτὸς ἀνὴρ περὶ τῆς αὐτῆς ὑποθέσεως καὶ ἑτέρους τρεῖς λόγους ἐν Ἄθωνι καὶ τούτους χειρογράφους σῳζομένους, εἴπερ (καθόσον ἤδη ἐνθυμοῦμαι) ἄρχονται ὧδε πως: ὁ α'. "Ἧκεν ἡμῖν ἡ λαμπρὰ καὶ χαρμόσυνος!" — β'. "Ἀλλὰ πῶς ἐν τίς αἰτίας καὶ μώμων". ὁ Γ'. — Δεῦτε ἀκούσατε καὶ διηγήσομαι ὑμῖν."

Νομίζω δὲ, ὅτι μνημονεύει τούτων καὶ ὁ Νικόδημος ἐν τῷ Συναξαριστῇ. Ἡ δὲ γραφὴ τῶν λόγων τούτων ἐστὶ τοῦ ιδ' αἰῶνος.

Περὶ δὲ ὧν με ἐρωτᾷς πολυγλώσσων ἐπιγραφῶν ἀναγινωσκομένων ἐπὶ τῶν βράχων τοῦ ὄρους Σινᾶ κ(αὶ) τῶν ἐγγὺς αὐτῷ ὀρέων λέγω σοι, ὅτι οὐδὲν περίεργον ὑπάρχει ἐν αὐταῖς σημειώσεως ἄξιον· ἀλλ' οὐδὲ ἐν τοιαύταις ἀμαθῶν ἀνδρῶν (ὡς ἐπὶ τὸ πλεῖστον) ἐπιγραφαῖς ἀπαντᾶται οὐδεμία τῷ Μωϋσῇ συγχρονοῦσα, ὡς δοξάζουσι τινὲς τῶν κενοσπούδων περιηγητῶν. Παρετήρησα γὰρ καλῶς καὶ τὰς Ἑβραϊκάς, ὥσπερ καὶ τὰς ἱερογλυφικὰς καλουμένας, καὶ ἑτέρας ἄλλων συγχρόνων λαῶν γραφὰς φύρδην μίγδην ἐγκολαπτῶς γεγραμμένας, καὶ οὐδεμία τούτων συνᾴδει τοῖς λήρημασι τῶν φλυνάφων περιηγητῶν· παραλλάσσει γὰρ πανταχοῦ ἡ γραφὴ τούτων, ὥσπερ καὶ ἡ σύνταξις τῶν νοημάτων, καὶ ἡ ἔκφρασις, καὶ ὁ σύνδεσμος, καὶ ἡ ἀλληλουχία τῶν ἱερῶν συμβόλων καὶ τῶν ἱερῶν γραφῶν. Παίγνια γὰρ θεωρῶ τὰς πλείστας τούτων χειρῶν ἀργῶν, καὶ μηδεμιᾶς φιλολογικῆς ἱστορίας ἀντικείμενον τὰς μικρὸν πρὸ Χριστοῦ ἢ μετὰ Χριστὸν γραφείσας πολλὰς τούτων, τὰς κ(αὶ) σπουδαίας παρά τισι λεγομένας. Καί, ἐάν περ ὁ καιρὸς συγχωρήσῃ τοῦτο, μεταγράψω σοι τινὰς τούτων καὶ ἑρμηνεύσω σοι διασκεδάσεως χάριν. ἄλλως δὲ οὐκ ἁρμόζει ἐν παιγνίοις τοιούτοις παίζειν τὸν χρόνον τῷ χρόνῳ τοῦ ὀλιγοχρονίου βίου ἡμῶν.

Νῦν δὲ φέρε εἴπωμεν καὶ περὶ τοῦ κατὰ Ματθαῖον ἱεροῦ εὐαγγελίου τοῦ σῳζομένου ἐν τῇ ἤδη διαμένω μονῇ τοῦ Σιναΐ, ὅπως λύσω τὰς ἀπορίας σου πάσας.

Τὸ χειρόγραφον οὖν τοῦτο σύγκειται ἐκ πολλῶν παπυρίνων φύλλων τῆς Μεμφιτικῆς φυτουργίας καὶ κατασκευῆς τῆς πρώτης μετὰ Χριστὸν ἑκατονταετηρίδος, τῆς καὶ Ἐβοῦ καλουμένης ἰδίᾳ. Ἔγραψε δὲ αὐτὸ ὁ Ἑρμόδωρος ἐν τοῖς ἑβδομήκοντα ἀποστόλοις καταριθμούμενος, καθὰ τεκμαίρεται ἐν τῷ τέλει τῆς πρὸς τοὺς πρεσβυτέρους τῆς Κνιδικῆς Χερσονήσου ἐπιστολῆς τοῦ Ἑρμοδώρου, τῆς ἐν τῷ αὐτῷ χειρογράφῳ ἀναγινωσκομένης. Ἐγράφη δὲ τῷ ηΗ μ. Χρ. ἔτει, πέμπτῳ δὲ καὶ δεκάτῳ μετὰ τὴν τελευτὴν τοῦ εὐαγγελιστοῦ Ματθαίου. Ἐν τούτῳ οὖν ὑπάρχουσι πολλαὶ ὀρθαὶ ἀναγνώσεις, περὶ ὧν καὶ ἔγραψα καὶ τῷ Κωνσταντίῳ. Ἡ δὲ γραφή· "Καὶ οὐκ ἐγίνωσκεν αὐτήν, ἕως οὗ ἔτεκε τὸν υἱὸν αὐτῆς τὸν πρωτότοκον" κτλ. ἔχει ἐν τούτῳ ὧδε· " Καὶ οὐκ ἐγίνωσκεν αὐτήν, καὶ ἔτεκε τὸν αὐτῆς" κτλ. Ἡ δὲ λέξις κάμηλος ΚΑΛΩΣ εὕρηται ἐν τούτῳ. Τὸ δὲ ἑξῆς χωρίον· "καὶ τότε ἐπληρώθη τὸ ῥηθὲν διὰ τοῦ προφήτου Ἱερεμίου λέγοντος" κτλ. ἀναγινώσκεται "διὰ τοῦ προφήτου Ζαχαρίου" κτλ.

Πολλὰ δὲ ἕτερα ἔχων εἰπεῖν σοι περὶ τοῦ πολυτίμου τούτου χειρογράφου, παρατρέχω ταῦτα ἐν τῷ παρόντι, καὶ λέγω σοι τὸ χαῖρε ἐν Κυρίῳ καθ' ἑκάτερα, ὅτι ἔδυσεν ὁ ἥλιος καὶ τὰ σήμαντρα τοῦ ἑσπερινοῦ κρούουσι τὸν ἦχον πρῶτον.

ὅλος σός
Σιμωνίδης

Ἐν Σιναίῳ τῇ δεκάτῃ Ἀπριλίου τοῦ ἔτους αωνϛ'.

(α) Τοῖς σοῖς περιπλέκεται λόγοις· (οὕτως ἐν τῇ περὶ σελίδι τοῦ χειρ.)

Καλλινίκῳ Ἱερομονάχῳ Σιμωνίδης πλεῖστα χαίρειν.

Πρὸ δέκα περίπου ἡμερῶν ἦλθον ἐκ Καΐρου ἐν τῷ θεοβαδίστῳ ὄρει Σιναίῳ καὶ τὸν Θεὸν εὐχαρίστησα ἀπὸ καρδίας, ὅτι ἠξίωσέ με καὶ αὖθις ἐπισκεφθῆναι ὑγιῶς τὰς ἱστορικὰς ἐρήμους ταύτας. Μηδὲν δὲ ἕτερον ἔχων εἰπεῖν σοι ἐν τῷ παρόντι σημειώσεως ἄξιον, λέγω σοι, ὅ,τι περ καὶ ἐπιθυμεῖς, ἀντὶ παντὸς ἄλλου, ἀκοῦσαι τόδε·

Ἡ μονὴ τῆς μεγαμάρτυρος Αἰκατερίνης, ἐν ᾗ ἤδη χώρῳ κεῖται, ἐκτίσθη ἐπὶ ἐρειπίων ναοῦ ἀρχαίου Ἴσιδος τῆς Θεᾶς, καθάπερ τεκμαίρεται ἐξ ἐπιγραφῆς τὸν δὲ τὸν τρόπον ἐχούσης·


„ Τὸ ἱερὸν τόδε Ἴσιδος Θεᾶς τῆς μεγάλης Πτολεμαῖος
„ Εὐεργέτης ἀνανέωσε λίθῳ λευκῷ δι' Ἀντισθένους τοῦ αὐτοῦ
„ σωματοφύλακος κελεύσει τῆς Θεοῦ. L Κ μηνὶ Δίῳ".

Ἡ δὲ ἐπιγραφὴ αὕτη ἔχουσα μῆκος 7½ σπιθαμῶν, πλάτος δὲ 4 σώζεται ἄχρις ἡμέρας ἐν τοῖς ὑπογείοις τῆς αὐτῆς μονῆς. Ἐκ ταύτης οὖν εἰκάζεται πρῶτον μὲν ὅτι ἦν καὶ πρὸ τῆς τοῦ Πτολεμαίου τοῦ Εὐεργέτου ἐποχῆς ἱερὸν Ἴσιδος δεύτερον δὲ βεβαιοῦται, ὅτι ἀνανεώθη τῷ εἰκοστῷ ἔτει τῆς βασιλείας τοῦ βασιλέως τῆς Αἰγύπτου τούτου ἐν μηνὶ Δίῳ, ἤτοι τῷ 262 πρὸ Χριστοῦ ἐν Μηνὶ Νοεμβρίῳ. Μετεβλήθη δὲ εἰς χριστιανικὸν ναὸν πολὺ πρότερον τῆς τοῦ Ἰουστινιανοῦ ἐποχῆς, ὥσπερ ἐξ ἐγγράφων ἐπισήμων, σωζομένων ἐν τοῖς ἀρχείοις τῆς αὐτῆς μονῆς βεβαιοῦται τοῦτο. Ἀναγινώσκεται γὰρ ἐν αὐτοῖς, ὅτι μετεβλήθη τὰ πρῶτα εἰς χριστιανικὴν ἐκκλησίαν τὸ τῆς Ἴσιδος τέμενος ἐπὶ τῶν χρόνων τοῦ μεγάλου Κωνσταντίνου ὑπὸ ἐρημιτῶν τινῶν, ὧν ἦρχεν Ἀμμώνιός τις, καὶ καθιερώθη τῇ ἀειπαρθένῳ Μαρίᾳ· Ἀλλὰ μετὰ ταῦτα κατασκαφείσης τῆς Ἐκκλησίας ὑπὸ τῶν διωκτῶν τοῦ χριστιανισμοῦ τῆς ἐποχῆς ἐκείνης, ἀνηγέρθη τὰ δεύτερα ἐπὶ τῶν Ἰουστινιανοῦ χρόνων, καὶ καθιερώθη τῇ μεγαλομάρτυρι Αἰκατερίνῃ. Ἡ δὲ χριστιανικὴ ἐπιγραφὴ Ἑλληνιστὶ οὖσα καὶ Ἀραβιστὶ γεγραμμένη, ἔχει τὸ Ἑλληνικὸν αὐτῆς κείμενον ὧδε· „ † Ἐκ βάθρων ἀνηγέρθη τὸ ἱερὸν τοῦτο μοναστήριον τοῦ
„ Σιναίου Ὄρους, ἔνθα ἐλάλησεν ὁ Θεὸς τῷ Μωϋσῇ, παρὰ τοῦ ταπεινοῦ
„ Βασιλέως Ἰουστινιανοῦ πρὸς ἀΐδιον μνημόσυνον αὐτοῦ καὶ τῆς συζύ-
„ γου τοῦ Θεοδώρας. Ἔλαβε τέλος μετὰ τὸ τριακοστὸν ἔτος τῆς
„ βασιλείας του, καὶ κατέστησεν ἐν αὐτῷ ἡγούμενον ὀνόματι Δουλᾶ(ν)
„ ἐν ἔτει ἀπὸ Ἀδὰμ ϛΚΑ! Ἀπὸ δὲ Χριστοῦ ΦΚΖ".

Ἀλλ' ἡ χρονολογία τῆς ἐπιγραφῆς ταύτης φαίνεταί μοι ὅλως ἐσφαλμένη καὶ γὰρ ἐν τῷ ϛκα ἔτει, ὅπερ συμπίπτει πρὸς τῷ 513ῳ ὁ Ἰουστινιανὸς οὐχ ὑπῆρξε βασιλεύς, ἀλλ' Ἀναστάσιος ἐβασίλευεν. Ἀλλ' οὐδὲ τῷ 527ῳ, πρώτῳ ἔτει τῆς Ἰουστινιανοῦ βασιλείας, ᾠκοδομήθη ὁ ναός. Ἤρξατο δὲ τῆς οἰκοδομίας τῷ εἰκοστῷ τετάρτῳ ἔτει τῆς αὐτοῦ βασιλείας ἐπὶ τῶν ἐρειπίων τοῦ ναοῦ τῆς Θεοτόκου, ἀρχιτεκτονοῦντος Ἀναστασίου υἱοῦ Ἀντωνίου Ἀντιοχέως. καὶ ἐπὶ τέσσαρας ὅλους ἐνιαυτοὺς (ἐκ θεμελίων) οἰκοδομούμενος ὁ ναός, εἴληφε πέρας, φθίνοντος τριακοστοῦ ἔτους τῆς αὐτοῦ βασιλείας, ὡς καὶ ἡ ἐπιγραφὴ ἐπιβεβαιοῖ, καὶ ἐν τοῖς ἀρχείοις τῆς αὐτῆς μονῆς εὕρηται γεγραμμένον. „ ᾨκοδόμηται (γράφει τὰ ἀρχεῖα τῆς μονῆς). ἡ θεία καὶ ἱερὰ μονὴ τοῦ Σιναίου ὄρους" κτλ τῷ ϛξε (= 557 μ. Χρ.) Ἰνδικτιῶνος ε^η μηνὸς Αὐγούστου δεκάτῃ".

Ἀνέγνων δέ, ἐν τοῖς αὐτοῖς ἀρχείοις καὶ χρυσόβουλλα βασιλικὰ πατριαρχικὰ καὶ ἀρχιερατικὰ ἔγγραφα πολλά, ἅπερ πάντα καλὸν ἦν μοσιευθῆναι χάριν τῆς ἐθνικῆς ἡμῶν ἱστορίας, οὐχ ἧττον δὲ καὶ τῆς ἐκκλησιαστικῆς. περὶ τούτων δὲ πάντων γράψω διὰ σοῦ ἐκτενέστερον καὶ τῷ παναγιωτάτῳ Κωνσταντίῳ. Ἀλλὰ ταῦτα μὲν ἀφέντες ἤδη, κοινοποιῶ σοι διὰ τῆς παρούσης μου ἀντίγραφον ἀνδρεικέλου τινὸς αἰγυπτιακοῦ λίαν περιέργου, ἅμα τῇ ἑρμηνείᾳ αὐτοῦ· Οἶδα γὰρ καλῶς τὸ ἐν πᾶσι σὸν φιλοπερίεργον, τὸ καὶ ἄξιον ἐπαίνου παντός.

Ἔχει τοίνυν τὸ πιστὸν διάγραμμα τούτου ὡς ἐνταῦθα εἰκονίζεται (α)




Τὸ δὲ νοούμενον αὐτοῦ φράζει τάδε· „ Θεὸς ὁ προάναρχος, Θεὸς ὁ προαιώνιος, Θεὸς ὁ ζωοδότης, Θεὸς ὁ τοῦ παντὸς κόσμου δημιουργός, Θεὸς ὁ τοῦ ψυχοῦ κατοικῶν, καὶ πανταχοῦ ὤν

(α) τὸ πρωτότυπον τὸ σὸν ἀνδρείκελον, ὁ Ἀχμέτης ... ἐν τῇ νεκροπόλει τῆς Σαΐδος ἀνακαλύψας ἐπρόσφερέ μοι, ᾧ ἀπέδωκα δῶρον τὸν λευκόν μου ἐπενδύτην. διαπέμψω δὲ τῷ ἡγεμόνι μου Στούρτζε.

φησιν, ὡς δεῖ πᾶσαν ψυχὴν ζῶσαν ἁγνὴν εἶναι καὶ σώφρονα ἀεί, καὶ θεὸν εὐχαριστεῖν καρδίᾳ καθαρᾷ ἐν παντὶ καιρῷ".

„Ὁ ἀκοίμητος καὶ ἀείζωος ὀφθαλμὸς τοῦ παντεπόπτου Θεοῦ".

Καὶ ταῦτα μὲν λέγει τὰ τοῦ ἀνδροσήμου σύμβολα ἑρμηνευόμενα, ἅπερ γράφω σοι καὶ πάλιν ἐνταῦθα κοινηδόν, προσγράφων ἅμα καὶ τὴν ἔννοιαν ἑκάστου τούτων πρὸς πλείονα κατάληψιν.



τὴν ἰδίαν σημασίαν, δεῖ τανῦν βεβαιῶσαι τοῦτο καὶ διὰ μαρτυριῶν ἀρχαίων συγγραφέων. Καὶ δὴ φέρω ἐν πρώτοις μάρτυρα τὸν Ὧρον αὐτόν, ὃν μάλιστα ἕτεροι Ὡραπόλλωνα συνήθως προσαγορεύουσιν.

Λέγει τοίνυν οὗτος περὶ τοῦ πρώτου συμβόλου, τοῦ ἱέρακος τάδε·

„Θεὸν δὲ βουλόμενοι σημῆναι, ἢ ὕψος, ἢ ταπείνωσιν, ἢ ὑπεροχήν, ἢ αἷμα ἢ νίκην ἢ φῶς, ἢ ἀέρα ἱέρακα ζωγραφοῦμεν· Θεὸν μέν, διὰ τὸ πολύγονον εἶναι τὸ ζῶον, καὶ πολυχρόνιον· ἔτι γε μήν, ἐπεὶ καὶ δοκεῖ εἴδωλον ἡλίου ὑπάρχειν παρὰ πάντα τὰ πετεινὰ πρὸς τὰς αὐτοῦ ἀκτῖνας ὀξυωποῦν· ἀφ' οὗ καὶ οἱ ἰατροὶ πρὸς ἴασιν ὀφθαλμῶν τῇ ἱερακίᾳ βοτάνῃ χρῶνται, ἣν καὶ καλοῦσιν ἰδίως ΑΑΒΑΘΗ· ὅθεν καὶ τὸν ἥλιον ὡς κύριον ὄντα ὁράσεως, ἔσθ' ὅτε ἱερακόμορφον ζωγραφοῦμεν· ὕψος δέ, ἐπεὶ τὰ μὲν ἕτερα ζῶα εἰς ὕψος πέτεσθαι προαιρούμενα, πλαγίως περιφέρεται, ἀδυνατοῦντα κατευθὺ χωρεῖν, μόνος δὲ ἱέραξ εἰς ὕψος κατευθὺ πέτεται· ταπείνωσιν δέ, ἐπεὶ τὰ ἕτερα ζῶα οὐ κατὰ κάθετον πρὸς τοῦτο χωρεῖ, πλαγίως δὲ καταφέρεται, ἱέραξ δὲ κατευθὺ ἐπὶ τὸ ταπεινὸν τρέπεται· ὑπεροχὴν δέ, ἐπειδὴ δοκεῖ πάντων τῶν πετεινῶν διαφέρειν· αἷμα δέ, ἐπειδή φασι τοῦτο τὸ ζῶον, ὕδωρ μὴ πίνειν ἀλλ' αἷμα· νίκην δέ, ἐπειδὴ δοκεῖ τοῦτο τὸ ζῶον, πᾶν νικᾶν πετεινόν· ἐπειδὰν γὰρ ὑπὸ ἰσχυροτέρου ζώου καταδυναστεύηται, τὸ τηνικαῦτα ἑαυτὸν ὑπτιάσας ἐν τῷ ἀέρι, ὡς τοὺς μὲν ὄνυχας αὐτοῦ ἐν τῷ ἄνω ἐσχηματίσθαι, τὰ δὲ πτερὰ καὶ τὰ ὀπίσθια εἰς τὰ κάτω, τὴν μάχην ποιεῖται· οὕτω γὰρ τὸ ἀντιμαχόμενον αὐτῷ ζῶον, τὸ αὐτὸ ποιῆσαι ἀδυνατοῦν, εἰς ἧτταν ἔρχεται· φῶς δέ, ὅτι ἡλίου σύμβολον τοῦτο τοῦ τὸ φῶς παρέχοντος, καὶ πρὸς τὰ ὕψιστα παρὰ πάντα τὰ πετεινὰ χωρεῖ, ἔνθα μάλιστα τὸ φῶς ἰσχυρὸν ὑπάρχει λίαν· πνεῦμα δὲ ἀνέμου, ἐπειδὴ ὀξεῖαν τὴν κίνησιν ποιεῖται· ὅθεν καὶ ὀξύπτερος ἔσθ' ὅτε ὁ ἱέραξ σύμβολον τάσσεται". (βιβ. Α'. 5ς".)

„Γράφεται δὲ καὶ ψυχῆς ἀντὶ ὁ ἱέραξ, καὶ δῆλον ἐκ τῆς τοῦ ὀνόματος ἑρμηνείας· καλεῖται γὰρ τὸ ὄρνεον τοῦτο Αἰγυπτιστὶ ΒΑΙΗΘ, ὃ ἑρμηνευόμενον ψυχὴν σημαίνει καὶ καρδίαν· σύνθετον γάρ ἐστιν ἐκ λέξεων δύο βαὶ καὶ ἠθ· καὶ ἡ μὲν πρώτη, ψυχὴν δηλοῖ· ἡ δὲ δευτέρα, καρδίαν· ἡ δὲ καρδία τῆς ἡμῶν ψυχῆς ἐστι περίβολος, ὥστε σημαίνειν τὴν σύνθεσιν τοῦ ὀνόματος, ψυχὴν ἐγκαρδίαν· ἀφ' οὗ καὶ ὁ ἱέραξ διὰ τὸ πρὸς τὴν ψυχὴν συμπαθεῖν, ὕδωρ οὐ πίνει τὸ καθόλου, ἀλλ' αἷμα, ᾧ καὶ ψυχὴ τρέφεται". (Βιβλ. Α', § ζ'.)

Καὶ ταῦτα μὲν Ὧρος φησὶν ἐν δυσὶ κεφαλαίοις περὶ τοῦ ἱέρακος συμβόλου, ὅπερ ἑπτάκις ἀπαντᾶται ἐν τῷ περὶ οὗ ὁ λόγος ἀνδροσήμῳ, πεντάκις μὲν (ἀπαντᾶται) ὡς Θεότης, ὅτι φέρει ἐπὶ κεφαλῆς δίσκον ἡλίου καὶ τὸν ἱερὸν

δράκοντα ια τῆς θεότητος σύμβολα· ἅπαξ δὲ ὡς ὑψηλότητος, καὶ αὖθις ἅπαξ, ὡς ψυχῆς ἔμβλημα. Τὸ δὲ δεύτερον τοῦτο ἔστι πολυσήμαντον, καθάπερ καὶ ὧρος φησι λέξεσιν αὐταῖς· „ ΟΣΧΕΝΕΩ δὲ τὸ σύμβολον (ἔστι δὲ τοῦτο ἡμισφαίριον), γράφοντες ἀναφορικὴν ἀντωνυμίαν σημαίνομεν.” Ἔτι γε μὴν καὶ ἀντὶ κτητικῆς ἢ δεικτικῆς τάσσεται ἀντωνυμίας, ἐνιαχοῦ δὲ καὶ ὡς ἐπιτατικὸν ἢ καταφατικὸν εὕρηται μόριον, ἔστι δὲ καὶ γηίνων πραγμάτων σημαντικὸν καὶ τῶν παραπλησίων· Διὸ καὶ ὠσχενεώ, τουτέστι πολυσήμαντον, εὐλόγως ἐκλήθη” (βιβ. ε'. §44).

Τὸ δὲ τρίτον τοῦτο βάτραχον εἰκονίζει. σημαίνει δὲ παρ' Αἰγυπτίοις πᾶν αὐτοφυὲς καὶ ἄπλαστον ἐάνπερ πρὸς γήϊνα ἔχῃ τὴν ἀναφοράν, ἂν δὲ πρὸς τὸ θεῖον, τὸ ἄναρχον σημαίνει τῆς θεότητος· διὸ καὶ προσετέθη αὐτῷ καὶ ἡ βασίλειος στολή· ἡ δὲ πρὸς περισσοτέραν σαφήνειαν· ἀρχῆς γὰρ σύμβολον ἡ στολὴ αὕτη· ὁ δὲ ★ ἀστὴρ (τὸ ε'. σύμβολον), ὃς καὶ δὶς ἀπαντᾶται ἐνταῦθα, σημαίνει ἐν μὲν τῇ πρώτῃ περιστάσει, τὸ πρότερον· ἐν δὲ τῇ δευτέρᾳ, χρόνον, τουτέστι καιρόν. Ἔστι δὲ ὁ ἀστήρ, ὦ Καλλίνικε, πολλῶν σημασιῶν σύμβολον, καὶ δεῦτε ἀκούσωμεν τί φησι καὶ περὶ τούτου ὁ πολὺς τὴν σοφίαν ὧρος·

„ Ἀστέρα δὲ γράφοντες, ὁτὲ μὲν Θεὸν σημαίνομεν, ὁτὲ δὲ δείλην, ὁτὲ δὲ νύκτα, ὁτὲ δὲ χρόνον, ὁτὲ δὲ ψυχὴν ἀνθρώπου ἄρρενος, ὁτὲ δὲ ἄλλο καὶ ἄλλο, καθά γε ἐδηλώθη τε καὶ δηλωθήσεται ἐν τοῖς ἐχομένοις βιβλίοις.” (β'. §1.)

„ Τὸ δὲ ὕστερον τοῦ χρόνου φωτὶ οἱ πατέρες ἡμῶν ἐσήμαινον· τὸ δὲ πρίν, σκότει. Ἐπειδήπερ τὸ σκότος τοῦ παντὸς ἐπεκράτει πρὸ τοῦ τὸν κόσμον ὑπὸ τῶν Θεῶν δημιουργηθῆναι. Διόπερ καὶ εὐλόγως οἱ Αἰγύπτιοι ἐκεῖνοι τὸ πρὶν σημῆναι βουλόμενοι, ἀστέρα γράφοντες ἐσήμαινον· νυκτὸς γὰρ ἐστὶ σύμβολον ὁ ἀστήρ, ἤτοι σκότους. τὸ δὲ ὕστερον, ἱέρακι· ἡλίου γὰρ σύμβολον τὸ ὄρνεον. Νῦν δὲ τὸ μὲν πρίν, κύκλῳ μέλανι ἅμα οὐρᾷ κροκοδείλου γράφοντες σημαίνομεν· τὸ δὲ ὕστερον κύκλῳ λευκῷ μετὰ λωτοῦ.” (Δ'. § ζ'.). Καὶ τοσαῦτα περὶ τοῦ ἀστέρος, περὶ δὲ τ[ῆς] βασιλικῆς στολῆς τάδε φησὶν ὁ αὐτὸς ἀνήρ.

„ Ἀρχὴν δὲ ἢ δικαστὴν ἐπὰν γράψωμεν, προστίθεμεν τῷ κυνὶ καὶ βασιλικὴν στολὴν παρακειμένην αὐτῷ, ἢ ἀνηρτημένην (γυμνὴν τὸ σχῆμα) ἐπὶ ξύλου μάλιστα γυμνοῦ καὶ τούτου, καὶ ὥσπερ σκήπτρου ἐσχηματισμένου.” (Α'. §μ'.).

Περὶ δὲ τοῦ βατράχου ταῦτα ἀπαντᾶται: „ ΑΦΩΧΘΕ δὲ λέγοντες ἄνθρωπον ἄπλαστον νοοῦμεν, καὶ βάτραχον ζωγραφοῦντες ...μεν, ἐπειδὴ ἡ τούτου γένεσις ἐκ τῆς τοῦ ποταμοῦ ἰλύος ἀποτελεῖται· ὅθεν καὶ ἔσθ' ὅτε ὁρᾶται τῷ μὲν ἑτέρῳ μέρει αὐτοῦ, βατράχῳ, τὸ δὲ λοιπῷ, γεώδει τινὶ ἐμφερής, ὅ

περ μάλιστα (γεῶδες) ἐκλείπει ἅμα τῇ τοῦ ποταμοῦ ἐκλείψει. Ἐπὰν δὲ μετὰ ἱέρακος ἱεροῦ γράψωμεν ἂν αὐτὸν τὸ ἄναρχον τῆς θεότητος ἐμφαίνομεν καὶ Ἀμμουβὰ τὸ σύμβολον τοῦτο προσαγορεύομεν. (Α'. § κε'.).

Τὸ δὲ ϛ'. τοῦτο ὁ οὐραῖός ἐστιν ὄφις φέρων ἐπὶ κεφῆς τὸ τοῦ Ἄμμωνος σύμβολον. Ἔστι δὲ καὶ τοῦτο πολυσήμαντον, ἀλλ' ἐνταῦθα τὸ αἰώνιον σημαίνει· „ Ἔστι μὲν (φησὶν ὁ ὧρος) ὁ Οὐραῖος καὶ ἑτέρων συμβόλων ἐμφαντικὸν σύμβολον, καθάπερ προείρηται, ἔστι δὲ μάλιστα καὶ αἰωνιότητος εἴπερ φέρει τὸ τοῦ Ἄμμωνος θεῖον καὶ δικαιοσύνης ἔμβλημα.” (Ε'. § ρμδ'.).

Τὸ δὲ ζ'. τοῦτο, ὅπερ ἐστὶ κλείς, καὶ ὅπερ τρὶς ἐνταῦθα ἀπαντᾶται ἔστι ζωῆς σημαντικόν. Καὶ ἐν πρώτοις μὲν ἀπαντᾶται μετὰ ἱέρακος θείου, ὅπερ σημαίνει ζωοδότην θεόν, καθά φησιν ὧρος γράφων τάδε·

„ Ζωοδότην δὲ δηλῶσαι βουλόμενοι, κλεῖδα γράφοντες ἅμα ἱέρακι, τὸν ζωοδότην Θεὸν σημαίνομεν.” (Γ'. § μϛ'.). Δεύτερον δὲ ἀπαντᾶται μετὰ (ἱέρακος) κεφαλῆς σημαινούσης ψυχήν, ὥσπερ ἐρρέθη, τουτέστι ψυχὴ ζῶσα· Τρίτον δὲ μετὰ κυματισμοῦ ὕδατος δηλοῦντος τὸ ἀεί, ἤτοι τὸ ἀείζωον.

Τὸ δὲ η' ἡ τοῦ Ἄμμωνός ἐστι γραφή, ἣ καὶ ἐγράφη ἐνταῦθα ὑπὸ μορφὴν ἀνθρώπου καὶ δυνάστου, ὅπως ἡ ἐν πᾶσι ὑπεροχὴ τῆς δυνάμεως δημιουργίας καὶ κυριότητος ἀποδοθήσεται τῷ τῆς θεότητος πρωτεύοντι Ἄμμωνι.

Τὸ δὲ ἔννατον τοῦτο, τὸ καὶ δὶς εὕρηται γεγραμμένον, „ τὸ πᾶν τῆς δημιουργίας εἰκονίζει” ἐν τῇ πρώτῃ περιστάσει, ὅτι τὰ τῆς δημιουργίας ἔπονται σύμβολα, ἅπερ ἐστὶν ὁ κάνθαρος καὶ ὁ ἀνθρωποκάνθαρος. Ἐν δὲ τῇ δευτέρᾳ „καιρὸν σημαίνει”, ὅτι μετὰ ἀστέρος συνδέεται. Σημαίνουσι δὲ κυρίως αἱ τέσσαρες γραμμαὶ τὰς τοῦ ἐνιαυτοῦ τέσσαρας ὥρας, ἔσθ' ὅτε δὲ καὶ τὸν αἰῶνα· „ Δηλοῦμεν δὲ τὸν αἰῶνα καὶ τῇ τῶν ὡρῶν γραφῇ τέσσαρας γράφοντες γραμμάς, ἅσπερ μάλιστα καὶ ΟΥΕΟΥΧ ἰδίᾳ φράζομεν” (ὧρος Α'. §1 καὶ Δ' § κδ'). Τὸ δὲ δέκατον τοῦτο κάνθαρός ἐστιν, ὃς καὶ πολλὰς ἔχει σημασίας παρ' Αἰγυπτίοις. Ἐνταῦθα δὲ κόσμον σημαίνει, ὅτι κοσμοειδῆ τὴν γένεσιν ποιεῖται”, κατὰ τὸν ὧρον καὶ ἄλλους (Α'. § ι'.)

Τὸ δὲ ἑνδέκατον τοῦτο σύνθετον ὂν ἔκ τε κανθάρου καὶ ἀνθρώπου καθημένου δημιουργὸν σημαίνει. καὶ γὰρ ὁ μὲν κάνθαρος κόσμου ὢν σύμβολον, ὁ δὲ ἄνθρωπος εἰκόνα θεοῦ φέρων, καὶ ταυτιζόμενος τῷ τῆς αὐτογεννήτως συμβόλῳ, τῷ καὶ ἐν ἐνεργείᾳ ὄντι (ἔχει γάρ τὰς πτέρυγας αὐτοῦ ὁ κάνθαρος ἀνεῳγμένας καὶ φέρει τοῖς ἐμπροσθίοις ποσὶ σφαιρίδιον), τὸν δημιουργὸν θεὸν ἐμφαίνει. Ἀποδίδεται δὲ κυρίως τὸ ἔμβλημα τοῦτο Ἡφαίστῳ τῷ θεῷ

Τὸ δὲ ιβ' σύμβολον τοῦτο, τὸ καὶ οἴκου σύμβολόν ἐστι τὸ ἐντὸς σημαίνει, καὶ μάρτυρα φέρω σοι τὸν Ὧρον φάσκοντα τάδε·

„Τὸ δὲ τοῦ οἴκου γράμμα εἰ μὲν μετὰ Χελώνης γραφῇ ἄν, ὦ Ἀπόλλων, τὴν ἐντὸς ἔχει σημασίαν, καὶ ὠφ τὸ σύμβολον τοῦτο λέγεται παρὰ Ἡλιουπολίταις· Ἐωφ δὲ παρὰ Μεμφίταις καὶ παρὰ πᾶσιν Αἰγυπτίοις" (Ε'. § ρμε'.). Τὸ δὲ ιγ' τοῦτο χελώνην εἰκονίζει, ἧς ἡ συμβολικὴ σημασία ἐστὶν ἡ οἴκησις. "Οἶκον δὲ γράφοντες (φησὶν ὁ Ὧρος) χελώνην ζωγραφοῦμεν· φερέοικον γὰρ τὸ ζῶον τοῦτ' ἐστι. Καλεῖται δὲ παρὰ πᾶσιν Αἰγυπτίοις τὸ ἀμφίβιον τοῦτο ζῶον ΠΑΦΡΕΝΣΕΧΙΩ, ὅπερ σημαίνει οἶκον φέρει χελώνη. Ἔστι γὰρ τὸ μὲν ΠΑΦ οἶκος, τὸ δὲ ΡΕΝΣ χελώνη, τὸ δὲ ΕΧΙΩ τὸ φέρω φράζει ῥῆμα. Δι' ὃ φερέοικον εἰπεῖν βουλόμενοι, ἢ οἶκον, ἢ οἴκησιν σημῆναι τοῦτο γράφομεν τὸ ζῶον. Ἔτι γε μὴν καὶ τράπεζαν γράφοντες καὶ ἄρτον ἐπ' αὐτῆς, καὶ ὑδρίαν ὕδατος οἶκον σημαίνομεν." (Δ'. § η'.).

Τὸ δὲ ιδ', τοῦτο, οὐρανοῦ ἐστιν ἔμβλημα, σημαντικὸν δὲ τοῦ παντὸς κόσμου τὸ ιε', ὅπερ ἐστὶν ὁ κύκλος· γῆς δὲ τὸ ις' τοῦτο. Σημαίνει δὲ καὶ τὰ τρία ταῦτα ὁμοῦ γραφόμενα τὸ ὅλον τῆς δημιουργίας τοῦ Θεοῦ, γῆς τουτέστι, οὐρανοῦ καὶ μετεώρων· ὅτι καὶ μεταξὺ οὐρανοῦ καὶ γῆς ὁ κύκλος ὁρᾶται γεγραμμένος. Τούτοις οὖν τοῖς τρισὶ συμβόλοις προσγραφομένου καὶ τοῦ ιζ τούτου |, ὅπερ ἐστὶ γραμμὴ καθετὸς, τὴν πανταχοῦ ὕπαρξιν καὶ παρουσίαν τοῦ Δημιουργοῦ ἐμφαίνει συμβολικῶς.. "Τὴν δὲ ὕπαρξιν (φησὶν ὁ Ὧρος) γραμμῇ καθέτῳ σημαίνομεν· μονὰς γάρ ἐστι τὸ σημεῖον τοῦτο καὶ πράγματος παντὸς ἀρχή· ἔσθ' ὅτε δὲ καὶ Ὥρου σύμβολον τὸ γράμμα. Ὧρος δ' ἐστὶν ὁ ἥλιος, ὃς καὶ τοῦ παντὸς ἀρχή. Καὶ ἑτέρως δέ, οἱ πατέρες ἡμῶν, ἐσήμαινον τὸ ὑπάρχειν, τῇ τῆς ψυχῆς γραφῇ· τὴν δὲ ψυχὴν σημῆναι βουλόμενοι, ἱέρακα ἔγραφον." (Δ'. § κη'.)

Τὸ δὲ ιη' τοῦτο, ὅπερ ἐστὶ φωνῆς σημαντικόν, ἐστὶ σύνθετον ἔκ τε γλώσσης καὶ ὀφθαλμοῦ. Λέγει δὲ καὶ περὶ τούτου ὁ Ὧρος τάδε:

„Τὸ δὲ λέγειν (ὅπερ μάλιστα ΑΒΟΥΑΙ φωνῇ ἱερᾷ λέγεται) γράφοντες, γλώσσῃ εἰκάζομεν, προσγράφοντες αὐτῇ, ἢ ὑπογράφοντες καὶ ὀφθαλμόν, ὅτι τὰ μὲν πρωτεῖα τῆς λαλιᾶς τῇ γλώσσῃ μερίζομεν, τὰ δευτερεῖα δὲ ταύτης τοῖς ὀφθαλμοῖς. Καὶ γὰρ οἱ λόγοι οὕτω γε τοῖς ψυχῆς τέλεσι

καθεστήκασι, πρὸς τὰ κινήματα αὐτῆς συμμεταβάλλοντες, καὶ ἥνπερ Ἀβουμανουώ ἰδίᾳ φράζομεν, ἤτοι ἑτέραν λαλιάν. Καὶ ἄλλως δὲ τὸ λέγειν σημαίνοντες, γλῶσσαν καὶ χεῖρα ὑποκάτω γράφομεν, τῇ μὲν γλώσσῃ τὰ πρωτεῖα τοῦ λόγου φέρειν δεδωκότες, τῇ δὲ χειρί, ὡς τὰ τῆς γλώσσης βουλήματα ἀνυούσῃ, τὰ δεύτερα." (Α'. § κζ'.)

Τὸ δὲ ιθ' τοῦτο, ἄροτρον ἐστὶ καὶ τὸ δεῖ γενέσθαι φράζει ῥῆμα· ὅτι δι' αὐτοῦ αἱ ἀνάγκαι τοῦ ἀνθρωπίνου βίου (τὰ πρὸς τροφὴν ἐπιτήδεια τουτέστι) πληροῦνται πᾶσαι: "Τὸ δὲ ἄροτρον (φησὶν ὁ Ὧρος) ἐστὶ μὲν καὶ ἄλλων πολλῶν ἐννοιῶν σύμβολον συμπληρωτικόν, ἐστὶ δὲ καὶ ἀνάγκης ἐμβληματικὸν· ὅτι δι' αὐτοῦ τὰ σιτίσματα πάντ' ἔχομεν". (Ε'. § ρμς'.)


Τὸ δὲ κ' τοῦτο ἐκ δύο, ὡς ὁρᾶται, σύγκειται συμβόλων ἐκ θυμιατηρίου καιομένου, καὶ ἐξ ὑδρίας βρυούσης ὕδωρ. Ἔστι δὲ ἀμφότερα ταῦτα ἁγνείας σημαντικά. "Θυμιατήριον δὲ καιόμενον (γράφει ὁ Ὧρος) καὶ ὑδρία βλύζουσα ὕδωρ ἐπὶ τῷ αὐτῷ γραφόμενα ἄμφω τὰ σύμβολα ταῦτα ἁγνείαν σημαίνει." (Ε'. § ρμζ'.). Τὸ δὲ κα' τοῦτο σωφροσύνης ἐστὶ σύμβολον, καθὰ Ὧρος παραδίδωσιν ἡμῖν διὰ τῶν ἑξῆς ῥημάτων: "Ἐπειδὰν δὲ λέγοντες σωφροσύνην δηλοῦμεν, ἣν εἰκάσαι βουλόμενοι τῇ τῆς χειρὸς γραφῇ καὶ τῇ τῶν αἰδοίων εἰκάζομεν· Δι' ὃ αἰδοῖα ἀνδρὸς χειρὶ κρατούμενα, σωφροσύνην δηλοῖ ἀνθρώπου". (Β'. § ζ'.). Τὸ δὲ κβ' τοῦτο ὕδατός ἐστιν ἐμβληματικόν. Ἀπαντᾶται δὲ καὶ τοῦτο δὶς ἐνταῦθα, καὶ σημαίνει τὸ ἀεί, τὸ πολύ, τὸ διηνεκές, τὸ συνεχές, τὸ ἀτελεύτητον, καὶ τὰ παραπλήσια κατά τε τὸν Ὧρον καὶ ἄλλους τῶν ἀρχαίων συγγραφέων. Ἔχει δὲ καὶ ἑτέρας πολλὰς σημασίας τοῦτο μετ' ἄλλων συμβόλων γραφόμενον, περὶ ὧν περιττὸν καὶ λέγειν ἐν τῷ παρόντι.

Τὸ δὲ κγ' τοῦτο ἐστὶν ἡ ἱερὰ βακτηρία τῶν Αἰγυπτίων, φέρουσα ἀφ' ἑνὸς μὲν μέρους τὸ τῆς δικαιοσύνης σύμβολον, ὅπερ ἐστὶ στρουθοκαμήλου πτίλον, ἀφ' ἑτέρου δὲ κουκούφας (πελαργοῦ) κεφαλὴν εὐχαριστίας ἔμβλημα. Ἐξαρτᾶται δὲ καὶ λίνον ἀπ' αὐτῆς, ὅπερ ἁγνείας σύμβολόν ἐστι κατ' ἄλλο σημαινόμενον. "Εὐχαριστίαν δὲ εἰκάσαι βουλόμενοι (φησὶν ὁ Ὧρος), τῇ τῆς Κουκούφας (τοῦ πελαργοῦ τουτέστιν) εἰκάζομεν γραφῇ· τοῦτο γὰρ μόνον τῶν ἀλόγων ζώων, ἐπειδὰν ὑπὸ τῶν γονέων ἐκτραφῇ, γηράσασιν αὐτοῖς τὴν αὐτὴν ἀποδίδωσι χάριν· ἐν ᾧ γὰρ ὑπ' αὐτῶν ἐξετράφη τόπῳ, νεοσσιὰν αὐτοῖς ποιήσασα, τίλλει αὐτῶν τὰ πτερά, τροφάς τε χορηγεῖ, μέχρι

οὗ πτεροφυήσαντες οἱ γονεῖς, βοηθεῖν αὐτοῖς συνηθῶσιν· ὅθεν καὶ ἐπὶ τῶν θείων σκήπτρων κουκούφα προτίμησίς ἐστι". (Α'. § νε'.) καὶ πάλιν ὁ αὐτὸς ἀλλαχοῦ φησι τάδε· " Εὐσέβειαν δ' εἰπεῖν βουλόμενοι οἱ πατέρες ἡμῶν, ἱέρεα ἔλεγον· τοῦτο δὲ τῷ κυνοκεφάλῳ ἐσήμαινον. Ἔτι γε μὴν καὶ ἀντὶ κυνοκεφάλου κουκούφαν γράφοντες, τὸν εὐσεβῆ ἐσήμαινον· τῷ αὐτῷ δὲ καὶ τὴν εὐχαριστίαν." (Γ'. § κγ'.).

Τὸ δὲ κδ'. τοῦτο  Ἶβιν τὸ πτηνὸν εἰκονίζει, ὃ καὶ ἀντὶ καρδίας γράφεται παρ' Αἰγυπτίοις, καθὰ μάλιστα μαρτυρεῖ ὁ Ὧρος λέξεσιν αὐταῖς·

" ΗΘ δὲ βουλόμενοι γράφειν (ὅπερ σημαίνει καρδίαν ἑρμηνευόμενον), Ἶβιν ζωγραφοῦμεν· τὸ γὰρ ζῶον τοῦτο, Ἑρμῇ ᾠκείωται ὅλως, τῷ πάσης καρδίας καὶ λογισμοῦ δεσπότῃ, ἐπεὶ καὶ ἡ Ἶβις αὐτὸ καθ' αὐτὸ τῇ καρδίᾳ ἐστὶν ἐμφερής· περὶ οὗ μάλιστα λόγος ἐστὶ πλεῖστος παρ' ἡμῖν φερόμενος." (Α'. § λς'.)

Τὸ δὲ κε' τοῦτο  καθαρότητος καὶ ἁγνείας ἐστὶν ἐμφαντικόν καθάπερ προείρηται. Τὸ δὲ κς' τοῦτο  λαγωὸς τὸ ζῶόν ἐστιν, ὅπερ παρ' Αἰγυπτίοις τὴν ἄνοιξιν σημαίνει εἰκονιζόμενος. ἅμα δὲ καὶ τὸ ἀκοίμητον ὀφθαλμῷ συγγραφόμενος: Ἀφὰρ δέ (φησὶν ὁ Ὧρος), τουτέστιν ἄνοιξιν θέλοντες δηλῶσαι, λαγωὸν ζωγραφοῦμεν· διὰ τὸ πάντοτε τοὺς ὀφθαλμοὺς ἀνεῳγότας ἔχειν τοῦτο τὸ ζῶον. Τοῖς δὲ ὠσὶν αὐτοῦ τὴν ὀξυηκοΐαν ~~[illegible]~~ σημαίνομεν· ὅτι ὀξυήκοον φύσει τὸ ζῶον τοῦτ' ἐστίν. Εἰ δὲ μετὰ ᾠοῦ γράψωμεν ἂν αὐτό, ἢ μετὰ ὑδάτων, τὸ πολύγονον νοοῦμεν. Εἰ δὲ μετὰ ὀφθαλμοῦ καὶ ᾠοῦ, τὸ ἐρᾶν φράζομεν. Εἰ δὲ μετὰ ὀφθαλμοῦ μόνου, τὸ ἀκοίμητον μηνύομεν." (α'. § κη'.)

Ἐρρέθη, ὦ πνευματικέ μου πάτερ, ὅτι ὁ κύκλος ἐστὶ τοῦ παντὸς κόσμου ἐμφαντικόν· τοῦτο δὲ καὶ ἑτέροις δηλοῦται συμβόλοις καὶ μάρτυρα δίδωμί σοι καὶ πάλιν τὸν Ὧρον αὐτὸν γράφοντα τάδε· " Τὸ δὲ πᾶν προαιρούμενοι δηλῶσαι, νῦν μὲν κύκλῳ παρεικάζομεν, νῦν δὲ τέσσαρσι γραμμαῖς, ἔσθ' ὅτε δὲ καὶ δυσὶ γυψί· δυάδος γὰρ σύμβολον ὁ γύψ. Ὁ δὲ τέταρτος ἀριθμὸς στοιχειακόν ἐστι σύμβολον· δηλοῖ δὲ ἡ Ἄρτεμις τὴν δυάδα γραφομένη. Οὐ μὴν δὲ ἀλλὰ καὶ ἑτέρως τὰς ἐνιαυσίους τέσσαρας τῶν ὡρῶν μεταβολὰς βουλόμενοι σημῆναι, παῖδα γράφοντες, καὶ ἄνδρα, καὶ πρεσβύτην, καὶ μυράκιον σημαίνομεν· καὶ γὰρ ὁ μὲν παῖς τὸ ἔαρ δηλοῖ ζωγραφούμενος, ὁ δὲ ἀνὴρ τὸ φθινόπωρον, ὁ δὲ πρεσβύτης τὸν χειμῶνα, τὸ δὲ μειράκιον τὸ θέρος. (Ϛ'. § νθ'.).

Ὁ οὖν κύκλος μετὰ τοῦ ὀφθαλμοῦ γραφόμενος τὸ παντέποπτον μηνύει, καθὰ προαπεδείχθη, τῆς θείας δυνάμεως, ὅτι ὀφθαλμῷ πολλάκις τὸν Θεὸν εἰκόνιζον οἱ πάλαι τῶν Αἰγυπτίων, ὥσπερ καὶ ἡμεῖς αὐτοὶ οἱ εἰς Χριστὸν πιστεύοντες, καὶ ἀκούσωμεν καὶ τὸν θεῖον Κύριλλον, τί περὶ τούτου φησίν, ὥσπερ καὶ περὶ ἑτέρων Αἰγυπτιακῶν ἐμβλημάτων.

Ἔχει τοίνυν τὸ τούτου γράμμα ὡς ἑξῆς.

" Φασὶ γενέσθαι τῶν τοῖς εἰδώλοις λελατρευκότων αἰνιγμάτων τεχνίτας, καὶ πρός γε τοῦτο δεινῶς καὶ ἐντέχνως ἐξησκημένους, οὓς δὴ καὶ ἱερογλύφους ὀνομάζειν ἔθος αὐτοῖς. οὗτοι τοῖς τεμένεσι καὶ τοῖς ὀβελοῖς γραφὰς ἐνορύττοντες οὐ γράμμασι χρῆσθαι τοῖς καθ' ἡμᾶς ἠξίουν, ἀλλ' ἑτέροις σχήμασι τοῖς τῶν πραγμάτων εἰδοποιοῦντες φύσεις, ἀπόθετόν τινα τοῖς νουνεχεστέροις ἐνεσώρευον γνῶσιν. Τὸ γάρ τοι ΘΕΙΟΝ ἤτοι τὴν ἀνωτάτω καὶ ὑπὲρ πάντα φύσιν καταδηλοῦν ἐθέλοντες γράφουσιν ὀφθαλμόν, ὀρθὴν αὐτῷ ῥάβδον ὑποστήσαντες, ἵν' ἐν ταὐτῷ νοῆται καὶ τὸ πανδερκὲς αὐτῆς καὶ μὴν καὶ τὸ βασιλικὸν ἀξίωμα· ἀεὶ γάρ πως τὸ σκῆπτρον βασιλείας νοεῖται σύμβολον, καὶ μὴν καὶ τὸ ἑστηκὸς τῆς ῥάβδου κατασημαῖνον ἤθελον τὸ κατ' οὐδένα τρόπον τὴν θείαν ὀκλάσαι δύνασθαι φύσιν, ἑστάναι δὲ ὥσπερ ἀεί, καὶ οἷον ἀνέχειν τε καὶ ἀνερείδειν τὰ πάντα. Ἔχει δὲ ὁ λόγος, ἀναγράφειν αὐτοὺς ἀσπίδα μὲν εἰς οὐρανοῦ τύπον, διά τοι τὸ κυκλοφερές, ὄφιν γε μὴν εἰς χρόνον, ὡς μακρόν τε καὶ πολυέλικτον, διέρποντα δὲ ἀψοφητί. Καὶ μὴν καὶ θυμὸν αἰνιγματωδῶς ὑποφαίνοντες ἐνεκόλαπτον ἐσχάραν, ἐναυσθέντος αὐτῇ καὶ πυρός, εἶτα καρδίας ἐπηρτημένης." (Κύριλλος κατὰ Ἰουλιανοῦ Θ'.)

Καὶ τοσαῦτα καὶ τοῦ πατρὸς Κυρίλλου. Ἠδυνάμην δὲ καὶ ἄλλαις ἄλλων μαρτυρίαις συγγραφέων ἐνδόξων, καὶ μάλιστα τοῦ Χαιρήμονος καὶ Ξενοφῶντος καὶ Ἐμπεδοκλέους ἐνισχῦσαι τὰ προρρηθέντα πάντα, εἴπερ εἶχον πλησίον μου καὶ τὰ τούτων μεγάτιμα συγγράμματα· ἀλλὰ δυστυχῶς καταλειπὼν αὐτὰ ἐν Ἀλεξανδρείᾳ ἀρκεσθησόμεθα τοῖς παροῦσι καὶ φέρε ἑρμηνεύσωμεν καὶ τὰ λοιπὰ πέντε τῶν ἐμβλημάτων διὰ τοῦ Ὥρου αὐτοῦ. Τοῦτον γὰρ καὶ μόνον ἔχω ἤδη ἀνὰ χεῖρας. Καὶ πρῶτον μὲν περὶ τῶν ἀνθρωπομόρφων δρακόντων, ὧν ὁ ἕτερος τούτων, ὁ ἐξ ἀριστερῶν δηλονότι τοῦ ἑτέρου εἰκονιζόμενος, φέρει ἐπὶ τοῦ καλύμματος τῆς κεφαλῆς αὐτοῦ, τοῦ καὶ ἐφα

καλουμένου ἰδίᾳ τὸ τῆς δικαιοσύνης σύμβολον, ὅπερ ἐστι δύω ῥιπίδια ἐκ στρουθοκαμήλου πτίλων πεπλεγμένα, καὶ ἄμφω συνδεδεμένα· ὅτι δὲ ἀντὶ δικαιοσύνης τὸ πτίλον τοῦ ζώου τούτου ἐγράφετο παρ' Αἰγυπτίοις μάρτυρα ἔχομεν, ὦ φίλτατε, καὶ ἐν τούτῳ τὸν αὐτὸν Ὧρον γράφοντα τάδε· "Ἄνθρωπον δὲ ἴσως πᾶσι τὸ δίκαιον ἀπονέμοντα βουλόμενοι σημῆναι, στρουθοκαμήλου πτίλον γράφομεν, ὃ μάλιστα καὶ ΦΟΥΡΑ καλοῦμεν φωνῇ ἱερᾷ· τοῦτο γὰρ τὸ ζῶον πανταχόθεν ἴσα ἔχει τὰ πτερώματα παρὰ πάντα τὰ ὄρνεα. Ἔτι γε μὴν καὶ ἀντὶ ἀληθείας τοῦτ' αὐτὸ γράφομεν τὸ σύμβολον". (β'. ῥιη'.).

Ἐπὶ τοῖς πτίλοις οὖν τούτοις ὁρᾶται κύκλος ἐπὶ κύκλου, καὶ πέρατα δύω, καὶ κεφαλὴ οὐραίου φέρουσα δῆθεν τῷ στόματι ἀμφοτέρους τοὺς κύκλους· τοῦτο δὲ σύμβολον ὂν τῆς ὑπερτάτου ἀρχῆς τοῦ Θεοῦ Ἄμμωνος, σημαίνει ὅτι αὐτὸς γῆν καὶ οὐρανὸν κρατεῖ, καὶ τούτων κατακυριεύει καὶ ζωογονεῖ, καὶ ἐφορᾷ ἐπὶ πᾶσι τοῖς ἐν αὐτοῖς ὡς πατὴρ ἀγαθὸς, καὶ κρατεῖ πάντα ἐν ἁρμονίᾳ ἀλανθάστως. Ἔχει δὲ τὴν ἰδέαν μειρακίου, ὅπως καταδείξῃ, ὅτι τὸ θεῖον ἀεὶ ἀκμάζει καὶ οὐδαμῶς τῷ χρόνῳ ... εται. Φέρει δὲ ἅμα καὶ γένειον, ὅπως εἰκονίσῃ τούτῳ τὴν τῆς τοῦ Θεοῦ ὑπάρξεως ἀρχαιότητα. Πάντα δὲ ταῦτα σύμβολα ὄντα τοῦ ἀνάρχου Θεοῦ, ἀποδίδονται παρ' Αἰγυπτίοις Ἄμμωνι τῷ Θεῷ.

Ὁ δὲ δεύτερος ἀνθρωπόμορφος δράκων, ὁ ἐκ δεξιῶν τοῦ πρώτου εἰκονιζόμενος, καίτοι ὁμοιότατος ὢν τῷ πρώτῳ, διαφέρει ὅμως τούτου κατά τι· φέρει γὰρ οὗτος γένειον οὐδαμῶς. Ἐπὶ δὲ τῆς κεφαλῆς φέρει ἐντὸς κύκλου Ἶβιν τὸ πτηνὸν, ὅπερ ἐστὶ σύμβολον τοῦ Ἑρμοῦ, τουτέστι τοῦ ΛΟΓΟΥ, τοῦ ἐκ τοῦ Θεοῦ ΠΑΤΡΟΣ γεννηθέντος· διὸ καὶ ἀγένειος εἰκονίζεται, καθότι ἔχει τὴν γέννησιν ἐκ τοῦ ΠΑΤΡΟΣ. Εἷς δὲ καὶ ὁ αὐτὸς ὢν Θεὸς, εἰκονίζονται τὰ αὐτῶν σώματα δρακοντοειδῆ συμπεπλεγμένα ἀλλήλοις, καὶ σχηματίζοντα τρίγωνον, ὧν αἱ ἄκραι τῶν οὐρῶν ἐπικάθηνται τῇ κεφαλῇ τοῦ ἐπὶ τοῦ τριγώνου τρίτου συμβόλου, ὅπερ εἰκονίζει, ἀναμφιβόλως, τὸ τῆς Θεότητος ΠΝΕΥΜΑ, καὶ ὅπερ ἡμεῖς οἱ χριστιανοὶ εἰκονίζομεν ὡς εἶδος περιστερᾶς· ὅτι οὕτως ἐφανερώθη τοῖς ἀνθρώποις ἐν τῇ βαπτίσει τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, καθὰ ὁ ἱερὸς Ματθαῖός φησι φάσκων τάδε· "...Βαπτισθεὶς δὲ ὁ Ἰησοῦς εὐθὺς ἀνέβη ἀπὸ τοῦ ὕδατος καὶ ἰδοὺ ἀνεῴχθησαν οἱ οὐρανοὶ, καὶ εἶδεν πνεῦμα Θεοῦ καταβαῖνον ὡσεὶ περιστερὰν ἐρχόμενον ἐπ' αὐτόν." ....(α). Τὰ τρία οὖν ταῦτα διάφορα σύμ-

(α). Τὸ εὐαγγελικὸν χωρίον τοῦτο, ὦ πνευματικέ μου πάτερ, ἐλήφθη ἐξ οὗ ἐγὼ χειρογράφου ἔγραψα ἐν Ἄθωνι (ὡς καὶ σὺ καλῶς τοῦτο οἶδας)· ὅτι τοῦτο καὶ εὑρέθη πρό-

βολα συνεδέθησαν τοῖς σώμασιν αὐτῶν, ἵνα μᾶλλον καταδειχθῇ τό τε ἀδιαίρετον αὐτῶν καὶ τὸ ἓν τῆς Θεότητος, ὅπερ μάλιστα ἐπιβεβαιοῖ ἕτερον σύμβολον τὸ τρίγωνον· Ἐκ τριῶν γὰρ πλευρῶν ὂν τοῦτο, καὶ ἐκ τριῶν γραμμῶν ἑκάστη τῶν πλευρῶν, ὥσπερ καὶ τὸ δρακοντοειδὲς σῶμα τῶν πρώτων δύω συμβόλων ἐσχηματίσθη ~~ἐσχηματίσθη~~ ἐκ τοῦ σώματος τῆς αὐτῆς τριαδικῆς Θεότητος, καὶ οὗ μάλιστα αἱ γωνίαι πᾶσαι συγχέονται τοῖς σώμασι καὶ ταῖς κεφαλαῖς τῶν τριῶν συμβόλων ΠΑΤΡΟΣ, ΛΟΓΟΥ, καὶ ΠΝΕΥΜΑΤΟΣ· διὸ καὶ τριάδος ὁμοουσίου καὶ ἀδιαιρέτου ἐστὶ καὶ λέγεται (ὀρθῶς) σύμβολον. Καὶ γὰρ πλὴν τοῦ σωματικοῦ συνδέσμου αὐτῶν, καταδεικνύουσιν αὖθις τοῦτο (τὸ ὁμοούσιον δηλονότι καὶ ἀδιαίρετον τῆς Αἰγυπτιακῆς ἁγίας τριάδος) καὶ ἕτερον σύμβολον ὁ ὀφθαλμὸς, ὁ κατὰ μέσον τοῦ τριγώνου ζωγραφούμενος ὃς καὶ τῇ τριάδι ἀποδίδοται. Δεῖται δὲ τὸ θεῖον τριῶν ἢ δύω ἢ ἑνὸς οὐδαμῶς, ἀλλ' ἵνα φανερώσῃ τὸ μηδὲν κρυπτὸν ἐνώπιον τοῦ Θεοῦ, ἀλλὰ πάντα ὁρατὰ καὶ πασίδηλα, εἰκόνισε τοῦτο οὕτως ὁ πρῶτος ταῦτα εἰκονίσας ΜΝΕΥΗΣ ὁ Θηβαῖος, καθὰ παρ' Αἰγυπτίοις μαρτυρῆται· τί γὰρ ἐστὶ κρυπτὸν ἐνώπιον τοῦ Θεοῦ; οὐδέν. Ἡ δὲ τῶν κεράτων γραφὴ σημαίνει τὸ ἀδάμαστον τῆς ἰσχύος τοῦ Θεοῦ, καὶ τὴν αὐτόματον καὶ φερέσβιον δύναμιν τῆς γενέσεως, ἥν περ καὶ ΘΩΕΡΕΙΜΩΥ ἰδίᾳ ἐκάλουν. ΘΩΕΡΕΜΑ δὲ τὸν γενάρχην Ἄμμωνα, ὃν καὶ κριοκέφαλον ἔγραφον.

Οὕτως οὖν ἐχόντων τούτων, οὐδὲν διέφερον, οἶμαι, τῶν χριστιανῶν ἡμῶν οἱ σοφοὶ τῆς Αἰγύπτου ἱερεῖς ὡς πρὸς τὴν δοξασίαν τῆς ἁγίας Τριάδος.

χειρον, καὶ ὃ χωρίον διαφέρει, νομίζω, κατά τι τοῦ γνωστοῦ ἡμῖν κειμένου. Ἔστι δὲ ἐλλιπὲς ἴσως ἔργον μου τοῦτο. Τίς τοῦτο ἠκρωτηρίασεν, ἐγὼ μὲν οὐκ οἶδα, ἀλλ' οὐδὲ τὸν λόγον, δι' ὃν ἤλλαξε μορφήν. Ὁ βιβλιοφύλαξ νεωστὶ διορισθεὶς, οὐδὲν γινώσκει βέβαιον. Τοῦτο λυπῆμαι οὐκ ὀλίγον· καὶ γὰρ τίνι τρόπῳ (εἴπερ μεταγράψω αὐτὸ ἤδη) ἀναπληρώσω τὰ ἐλλείποντα φύλλα τοῦ Βενεδίκτου μεταλλάξαντος τὸν βίον καὶ τῶν χειρογράφων ἐκείνων, ἐξ ὧν αἱ διορθώσεις ἐλήφθησαν, μὴ ὄντων ἐνταῦθα; Κοίνωσον τοῦτο τῷ σοφῷ Πατριάρχῃ Κωνσταντίῳ, γράψω δὲ κἀγὼ αὐτῷ, καὶ ἐάνπερ ἐπιμένῃ, μεταγράψω τὰ ἐλλείποντα ἐκ τῶν ἐν τῷ θησαυροφυλακίῳ σωζομένων τριῶν ἀρχαιοτάτων χειρογράφων τῶν ἱερῶν γραφῶν, εἴπερ κ' σὺ γινώσκεις. Παρετήρησα δὲ ἐν ἔτι λίαν περίεργον ἐν ᾧ ἐγὼ ἔγραψα χειρογράφῳ· πολλαὶ δηλονότι προσθέσεις ὑπάρχουσιν ἐν τοῖς περιθωρίοις αὐτοῦ καὶ μάλιστα τῆς ΝΕΑΣ ΔΙΑΘΗΚΗΣ, ὧν αἱ πλεῖσται εἰσὶν ἀδοκίμου χειρὸς ἔργον, καὶ ὑποπτεύομαι μήπως ἀσεβηλώθη τὸ χειρόγραφον τοῦτο ὑπὸ χειρὸς ἀλλοπίστου καὶ ἀλλογενοῦς, ὥσπερ κ' ἄλλα ἄλλοτε.

Παρόμοια δέ τούτῳ ἀνδρόσημα εἶδον καί ἐν Σάϊδι τῇ πόλει τρία, καί βολβιτίνη ἕτερα δύω, ἐν τῇ οἰκίᾳ τοῦ φιλτάτου ἡμῶν Νικολάου τοῦ Μελισσηνοῦ, ἅπερ, τελευταῖα, διέφερον μικρόν τοῖς πρώτοις, οὐ μόνον κατά τό σχεδίασμα τῶν γραμμάτων, ἀλλά καί κατά τόν ἀριθμόν αὐτῶν· περιεῖχον γάρ τά δεύτερα δύω περισσότερα τῶν πρώτων. Συμβολικόν δέ τρίγωνον ἀναφέρεται καί ἐν τῇ πέμπτῃ βίβλῳ τῶν τοῦ Ὥρου ἱερογλυφικῶν ὅ καί καλεῖται ΣΗΜΑ ΘΕΜΑ ΑΜΜΩΝΟΣ, καί περί οὗ εἶπον σοι ποτέ πολλά, ὥστε περιττόν κρίνω καί πάλιν τά αὐτά μεταγράφειν.

Ἐπειδή δέ ὁ λόγος ἐστίν ἐνταῦθα περί τῆς ἱερᾶς γραφῆς τῶν Αἰγυπτίων, καί ἐπειδή ἐμνήσθην καί τῆς πόλεως Σαΐδος μεταγράφω σοι καί τά ἐκ τῆς ἱερᾶς καί ἀποφθεγματικῆς πλακός σοφά τῶν αἰγυπτίων ἀποφθέγματα, τά καί πρό πολλοῦ ὑποσχεθέντα σοι. Ἔστι δέ ταῦτα.

Α'. „Θεόν σεβάζειν δεῖ τόν τοῦ παντός κτίστην. Θώθθις ὁ Θεός κελεύει πάντας βροτούς."

β'. „Δεῖ τόν γεννητόν τιμᾷν τόν ἀγέννητον ἐσαεί· ἔχει γάρ παρ' αὐτοῦ δῶρον τά τε ἐν τῇ γῇ πάντα, καί τά ἐν τῇ θαλάσσῃ, καί τῶν ἐμψύχων ἄρχειν αὐτῷ εἶπε."

Γ'. „Πάντες οἱ θεόν τόν τοῦ παντός κτίστην περιφρονήσαντες, ταχύ ἀπώλοντο, αὐτοί ἑαυτούς καταστρέψαντες."

Δ'. „Τόν τοῦ παντός κρατοῦντα προσφοραῖς τε καί εὐλογίᾳ καρδίας τούς βροτούς ἐξιλεοῦν δεῖν ὁ Θεός κελεύει Θώθθις."

ε'. „Εἰ θεός φιλεῖν σε θέλεις, τήν μέν κακίαν φεῦγε, ζήλου δέ τήν ἀρετήν."

ς'. „Ἀρχή ἐπί ἀνομιῶν παγιωθεῖσα ταχέως ἐκλείψει."

ζ'. „Ἀγάπησον ἀλήθειαν καί δίκαιος ἔσο, κἄν ἄρχῃς ἀνθρώπων, καί πάντων κρατήσεις τῶν ἐν τῇ γῇ· τοὐναντίον δέ, σεαυτόν ἀπολέσεις."

η'. „Ἀγαθοποίει τούς ἀρχομένους."

θ'. „Κρατῶν δέ, κράτει, ἵνα μή κρατηθῇς."

ι'. „Δωροδόκον χεῖρα φεῦγε εἰς τόν ἅπαντα χρόνον, ἵνα μή ταχύ σεαυτόν καταστρέψῃς."

ια'. „Τόν βασιλέα τῶν θνητῶν ἐν ἀληθείᾳ καί δικαιοσύνῃ δεῖ βασιλεύειν, ἵνα μή ὁ Ἄμμων στερήσῃ τοῦτον τῆς ἀρχῆς, καί Θώθθις εἰς δίκην ἄξῃ."

ιβ'. „Εἰ κρατεῖν ἐθέλεις τῶν θνητῶν ἀσφαλῶς, πατρικῶς βασίλευε καί οὐχί τυραννικῶς." (α)

(α). Τοῦτό ἐστιν ὅμοιον πρός τό τοῦ Περιάνδρου τό λέγον. "Τούς μέλλοντας ἀσφαλῶς τυραννήσειν τῇ εὐνοίᾳ δορυφορεῖσθαι, καί μή τοῖς ὅπλοις."

ιγ'. „Ὁ βασιλεύων ἐν δικαιοσύνῃ οὐδενός στερηθήσεται τῶν γηΐνων· πάντα γάρ ἀφθόνως Ὄσιρις αὐτῷ δώσει." — ιδ'. „Ὁ δέ διά προδοσίας κρατυνόμενος, ὑπό τοῦ λαοῦ μισηθήσεται, καί πένητα ζήσεται βίον, ἄχρις ἄν ἀφέσεως τοῦ τόν βίον καταστρέψῃ." — ιε'. „Πᾶς γάρ ὁ ἐν δικαιοσύνῃ βασιλεύων οὐκ ὄψεται θάνατον εἰς τόν αἰῶνα, ἀλλά καί τοῦ θανάτου αὐτοῦ κρατήσει κἄν ἀποθάνῃ." — ις'. „Ὁ ἐπί ἀβεβαίοις ἐλπίσας καί τά βέβαια ἀπώλεσεν. Ὁ δέ ἐπί βεβαίοις, ἐν ἡσυχίᾳ τῶν γηΐνων, ἦρξεν."

ιζ'. „Ὁ δέ τά ἀλλότρια ἐπιθυμήσας ταχύ τά ἴδια ἀπεξένωσε."

ιη'. „Βασιλεία ὁμονοοῦσα ἐχθροῖς φοβερά, τοὐναντίον δέ, αἱμάτων ποταμός· οἰκία δέ, ἀγαθῶν ἔμπλεως· διχονοοῦσα δέ, νόσος ἀτελεύτητος."

ιθ'. „Ἀνδρός ἀδίκου θάνατος ζωῆς εἰς τόν ἅπαντα χρόνον ἡ τιμωρία· αἱματοσταγής γάρ μάχαιρα ὁ ἄδικος." — κ'. „Ὁ δίκαιος οὐ φοβηθήσεται θάνατον εἰς τόν αἰῶνα· οἶκος γάρ Θεοῦ ὁ δίκαιος."

κα'. „Πᾶς δέ ὁ δικαιοσύνην ἀποστρεφόμενος, πῦρ ἀνάπτει ἐν ἑαυτῷ."

κβ'. „Σωφρόνει κἄν μισῇ καί ἄρξεις καί τοῦ μίσους αὐτοῦ· ἀσφαλής γάρ ὁ σώφρων ἀεί, ὁ δέ ἄφρων πολυώδυνος νόσος."

κγ'. „Ἀνήρ ταπεινός πάντων ὑπερέχει, καί λέοντας δεσμεύει· ἴσθι τοίνυν ταπεινός, καί πάντας νικήσεις, καί θεῷ συνοικήσεις."

κδ'. „Ἄνδρα ἰταμόν καί ἄνδρα ἀχάριστον φεῦγε· κρατήρ γάρ ὁ μέν παθῶν ἔμπλεως, ὁ δέ βλάβη ἐς ἀεί πολύκλονος."

κε'. „Ἀκόλαστος ἀνήρ νόσος τρεφομένη, ἀκάθαρτος δέ κόλασις ζῶσα."

κς'. „Ἄτεχνος ἀνήρ ἐπίνοια κακῶν αἰωνία."

κζ'. „Στόμα λάλον νόσος ἀνίατος· ἄκουε οὖν πολλά καί λάλει ὀλίγα. Ἀνήρ δ' ὀργίλος πῦρ ἀέναον." — κη'. „Ἄμουσος ἀνήρ νόσος αὐτοφυής."

κθ'. „Ὡς ἄριστος ἡδονή ὁ τῶν σπουδαίων ἔρως· τροφή γάρ ἀθάνατος ἡ τούτων μελέτη." — λ'. „Γέλως μετά παρρησίας ὁδός πρός πᾶσαν κακολογίαν διαβαίνουσα." — λα'. „Κράτει παθῶν καί πάντων κρατήσεις· καί μέμνησο, ὅτι θνητός εἶ· πᾶς γάρ ὁ μνημονεύων τοῦ θανάτου, οὐ φοβηθήσεται θάνατον." — λβ'. „Διδάσκων μή τά ἀρέσκοντα ἀλλά τά ὠφελοῦντα λέγε τοῖς διδασκομένοις. Δικάζων δέ, δίκαζε, ἵνα μή καταδικασθῇς."


Καί ταῦτα μέν πάντα ἦν γεγραμμένα γράμμασιν ἱερογλυφικοῖς τῆς τρίτης περιόδου τῆς σχολῆς τῶν Σαϊτῶν, ἅ καί διά τοῦ Χαιρήμονος ἡρμήνευσα. Ὑπάρχει δέ καί ἐν τῷ κέντρῳ τῆς πλακός ἕτερον σύμβολον

+ Πνευματικέ μου Πάτερ, Περὶ ὧν μοὶ γράφεις ἀπορημάτων δυσκολεύομαι ἀπαντῆσαι σοι ταυτῶν ἀσχολιῶν ἕνεκα· καὶ γὰρ ἡ αὐτοῦ Παναγιότης ὁ Κωνστάντιος προτρέπει με δι' ἐπιστολῆς, ἵνα μεταγράψω τὰ ἐν τῷ θησαυροφυλακίῳ σωζόμενα ἀρχαιότατα παπύρινα ἀπόγραφα τοῦτε Ἑρμᾶ καὶ τοῦ Βαρνάβα καὶ τοῦ Ἀριστέου, καὶ ἰδοὺ τὰ τῆς ἐπιστολῆς αὐτοῦ πρὸς βεβαίωσιν σου:

„ + Τέκνον ἐν Κυρίῳ ἀγαπητὸν Κωνσταντῖνε, χάρις εἴη τῇ αὐτῆς λογιότητι καὶ εἰρήνη παρὰ Θεοῦ, παρ' ἡμῶν δὲ εὐχή, εὐλογία, καὶ συγχώρησις. Ὁ ἀοίδιμος σοφὸς Βενέδικτος, ὁ σὸς θεῖος ἐρωτηθεὶς ποτὲ περὶ τοῦ πόσα χειρόγραφα τοῦ Ἀριστέου, τοῦ Ἑρμᾶ, τοῦ Βαρνάβα σώζονται ἐν Ἄθῳ, κατέγραψέ μοι διὰ σοῦ (ὡς καλῶς οἶδας τοῦτο) τὰ σπουδαιότατα. Ἐν τούτοις δὲ ἐμνήσθη καὶ τῶν ἐν τῇ βιβλιοθήκῃ τοῦ θησαυροφυλακίου τῆς μονῆς τοῦ Σιναίου σωζομένων πολυτίμων χειρογράφων τῶν αὐτῶν ἀνδρῶν, ἅπερ ἐκεῖνος ἀνέγνω ποτὲ εἰς Σίναιον γενόμενος, καὶ ἐγὼ ἐψηλάφησα ἐν τῷ αὐτῷ ἰδίῳ τόπῳ, ἐν ᾧ καὶ εἰσέτι φυλάττονται. Ταῦτα οὖν προτρέπω σε, ἵνα μεταγράψῃς ταχαίως, καὶ τὸ ἀντίγραφον πέμψεις μοι διὰ τοῦ Παρθενίου, ἢ διὰ τοῦ Καλλινίκου· ἀμφότεροι γὰρ οὗτοι διετάγησαν μεταβῆναι εἰς Κωνσταντινούπολιν καὶ εἶτα εἰς Ὀδησσὸν καὶ Μόσκβαν. Τὸ δὲ ἀντίγραφον γενέσθω διὰ μικρῶν κοινῶν γραμμάτων ἢ οὐχὶ διὰ κεφαλαιωδῶν ἀρχαίων. Ὁ δὲ θεὸς τῆς ἀληθείας Ἰησοῦς Χριστὸς ἀνταμειψει τοὺς κόπους σου, οὗ ἡ χάρις καὶ τὸ ἄπειρον ἔλεος εἴη μετὰ σοῦ."

„ ἐν Κωνσταντινουπόλει, ͵αωνβ', ἐν μηνὶ φεβρουαρί. ιδ'."

„ + Ὁ πρώην Κωνσταντινουπόλεως Κωνστάντιος,
Ἐν Χριστῷ διάπυρος εὐχέτης."

Καὶ οὕτω μὲν ἔχει ἡ ἐπιστολή· ἐγὼ δὲ τὴν ἀντιγραφὴν τῶν ὁρισθέντων χειρογράφων εὐθὺς ἀναλαβών, περαιώσω (χάριτι θείᾳ) μετὰ ἑβδομάδας δύω· ἢ γὰρ τὴν τοῦ Βαρνάβα ἐπιστολὴν μετέγραψα ἤδη πᾶσαν. Μετὰ δὲ ταῦτα λύσω τὰς ἀπορίας σου πάσας. Περὶ δὲ τῆς λέξεως Σαβαώθ λέγω σοι νῦν τάδε: Τὸ ὄνομα τοῦτο οὐκ ἔστιν Ἑβραϊκόν, ὡς οἱ θεολόγοι δοξάζουσιν, ἀλλὰ κάρτα Αἰγυπτιακόν, καὶ μάλιστα λέξις ἣν πρῶτος Μνεύης ὁ Θηβαῖος χίλια ἔτη πρὸ Μωϋσέως ἀκμάσας ἔγραψεν ἐπὶ τοῦ ἱεροῦ πυλῶνος τοῦ ναοῦ τοῦ Ἄμμωνος τοῦ ἐν Θήβαις. Σημαίνει δὲ τοῦτο ἑρμηνευόμενον τὴν αὐτογεννητικὴν ἐνέργειαν. ΣΑ γὰρ (μακρῶς τὸ Α προφερόμενον) τὸ αὐτόματον οἱ Θηβαῖοι προσηγόρευον, ΒΑ δὲ τὴν γέννησιν κατὰ γλῶσσαν ἱεράν, ΩΘ δὲ τὴν ἐνέργειαν. Οἱ δὲ Μεμφῖται ΣΕΒΑΥΩΘ τὸ τρισήμαντον τοῦτο θετὸν ὄνομα ἐπρόφερον, ΣΕΒΑΥΝΕΘ δὲ οἱ Ἡλιουπολῖται. Ἔστι δὲ ἐπίθετον ἀποδιδόμενον τῷ Θεῷ Ἄμμωνι παρ' Αἰγυπτίοις πᾶσιν. Ἐκάλουν δὲ τὸν Ἄμμωνα οὗτοι καὶ Ἀμμὼ Ζεβαώθ, ἤτοι ἀρχὴν τῶν δυνάμεων, καὶ Ἀμμὼ Ἰεχωβάθ, τουτέστι θεὸν παντοκράτορα. Ἔτι δὲ Ἀμμὼ ἐσεβάθ, οἷον θεὸν παντοδύναμον, καὶ Ἀμμὼ ἐσσαβαθί, ἤγουν θεὸν παντοδότην. Ταῦτα δὲ τὰ ὀνοματικὰ ἐπίθετα μαθόντες οἱ Ἑβραῖοι παρ' Αἰγυπτίοις, καὶ μάλιστα ὁ θεῖος Μωϋσῆς, ὃς καὶ πάσῃ σοφίᾳ ἐπαιδεύθη Αἰγυπτίων, καθὰ αἱ πράξεις φασὶ τῶν Ἁγίων ἀποστόλων, παρέλαβον καὶ καθιέρωσαν. Ἐκάλουν δὲ τὴν θείαν ἰσχὺν οἱ Αἰγύπτιοι καὶ Ἔσσε, ἣν καὶ γυναικὶ προσώπῳ παρεικάζοντες ἐλάτρευον ἐν πάσῃ Αἰγύπτῳ, κυρίως δὲ ἐν Θήβαις. Τὸν δὲ προφοδότην ΜΑΡΑΕ ἐκάλουν, Θωερεμᾶ δὲ τὸν γενάρχην πάσης κτίσεως, ἔτι δὲ Μεθαερὶ καὶ Νουδεμᾶ, ἤτοι γῆς ἔφορον, καὶ οὐρανοῦ κύριον. Τὸ δὲ ἀπόφθεγμα τοῦ σοῦ δακτυλίου, τοῦ καὶ ἐνταῦθα εἰκονιζομένου τούτου , περιέχει τὰ γράμματα τάδε: "Βαγχοὼ χωὶ αὼ ὢ λὼρ χερσεὺνε νεύβω". Ταῦτα δὲ ἑρμηνευόμενα φράζουσι τάδε: „ Ὁ εἰς ἑαυτὸν ἐλπίζων καὶ τοῖς ὁμοίοις αὐτοῦ ματαίως ἐλπίζει· ὁ δὲ εἰς τὸν δημιουργὸν αὐτοῦ οὐκ ἀποτύχει". Ἔστι δὲ τοῦτο Αἰγυπτιακὸν ἀπόφθεγμα, Ἡρωπολιτικῆς διαλέκτου, καὶ γράμμασιν ἑλληνικοῖς γεγραμμένον. Ἤκμασε δὲ ἡ διάλεκτος ἐν τῷ ἕκτῳ πρὸ Ἡρωοπολιτῶν. Χριστοῦ αἰῶνι καὶ παρήκμασεν ἐν τῷ δευτέρῳ πρὸ Χριστοῦ. Τοῦτο δὲ τὸ Β' φέρει ἕτερον ἀπόφθεγμα ἀναγινωσκόμενον αἰγυπτίᾳ φωνῇ δι' ἑλληνικῶν γραμμάτων ὡς ἑξῆς "Ἔφφι ἐὼ Δεωθὲ ριὲ ἐεσσὶ φαθὶ ἐχχωέ."  τουτέστιν· ὁ σκολιῶς συλλογιζόμενος ἀπομακρίνεται τοῦ Θεοῦ. Ἔσεσθε οὖν εὐθὺς τῇ καρδίᾳ καὶ ἔσεσθε θεοὺς ἐν παντὶ ἔργῳ ἀγαθῷ προστάτας ἢ ἐντελεστάς". Ἔστι δὲ καὶ τοῦτο τῆς αὐτῆς σχολῆς, ἤτοι Ἐεθθοῦ τοῦ Ἡρωοπολίτου τοῦ ἀκμάσαντος ἐν τῷ ἕκτῳ πρὸ Χριστοῦ αἰῶνι, καὶ τὴν σχολὴν αὐτοῦ ἐν Ἡρωοπόλει συστήσαντος, καθὰ Χαιρήμων μαρτυρεῖ καὶ οὐράνιος ἐπιβεβαιοῖ ὁ Ἀλεξανδρεὺς ἐν ταῖς τῶν ἀρχιερέων ἀναγραφαῖς. Τὸ δὲ τρίτον τοῦτο  λέγει "Ἀμμὼ Ζεβαὼθ ἀαὶ ἐάφ." τουτέστι ἡ ἀρχὴ τῶν δυνάμεων γενέσθω μοι βοηθός.


Πολλὰ δὲ καὶ ἕτερα ἔχων εἰπεῖν σοι περὶ τούτων, τῶν δακτυλίων, καταπαύω ἐνταῦθα τὸν λόγον, διδῶν σοι ἅμα καὶ τὸ ἀντίγραφον τοῦ ζητηθέντος χρυσοβούλλου χάριν τοῦ φιλτάτου ἡμῶν Παρθενίου, οὗ καὶ τὴν δεξιὰν πανευλαβῶς κατασπάζομαι. Ἔχει δὲ τοῦτο ὡς ἑξῆς:

„ + Αἱ κατὰ τὸν Ἄθω σεβάσμιαι μοναὶ τῆς βασιλείας μου πρότερον μὲν ἐκ τῶν ἔξω τόπων καὶ μετοχίων αὐτῶν, πολλὰς καὶ παντοίας ἀπεφέροντο προσόδους, ἐξ ὧν οἱ ἐν αὐταῖς ἀσκούμενοι μοναχοί, τὰς ἀναγκαίας αὐτῶν θεραπεύοντες χρείας, εἰρηνικῶς τὸν ἀξιέπαινον ἑαυτῶν διῆγον βίον τῇ τοῦ θεοῦ λατρείᾳ προσέχοντες. Πρὸ χρόνων δέ τινων, καὶ κατὰ τοὺς παρόντας μάλιστα καιρούς, τὰ πλεῖστα μὲν ἐκείνων ὑπὸ τῶν βαρβάρων ἀφαιρέθησαν, ἃ δὴ ἔχειν δοκοῦσι, καὶ ταῦτα μετὰ πολλῆς ἐνοχλήσεως καὶ ἐπηρείας καρπούμεναι βαρβαρικῶς, εἰς ἔνδειάν τε καὶ στένωσιν κατέστησαν οὐ μετρίαν. Ὑπὸ ταύτης τῆς ἀνάγκης καὶ ἡ ἐκεῖσε μονὴ τοῦ ἁγίου Παύλου ἀναλωθεῖσα ἐξέπεμψεν εἰς τὴν βασιλείαν μου τινὰς τῶν ἐν αὐτῇ μοναχῶν, δι' ὧν ἐδεήθη καὶ παρεκάλεσεν, ἵνα εὐεργετίσωμεν πρὸς αὐτὴν ἐν τῇ θεοσώστῳ νήσῳ Λήμνῳ γῆν ἡμετέραν ζευγαρίων τεσσάρων, περὶ τὴν τοποθεσίαν τοῦ χωρίου τῶν Βουνεάδων,


μετὰ καὶ τῶν μανδρῶν, τῆς τε τῶν ἁγίων Θεοδώρων τῆς εἰς τὸν Φανὸν καὶ τῆς καλουμένης Ροδανιναίας. Ἔτι τε καὶ τὴν γῆν παροίκου τοῦ Ραδαμπέλου, ὡς ἂν ἔχῃ ταύτας ἡ τοιαύτη μονὴ ἐλευθέρας τέλους. ὁμοίως ἵνα ἐλευθεροῖ ἐν τῇ αὐτῇ Λήμνῳ κατ' ἔτος εὐνόμιον προβάτων πεντακοσίων, καὶ ἔχει τὰς εἰρημένας εὐεργεσίας τῆς βασιλείας μου ἡ προειρημένη μονὴ εἰς τὸν ἑξῆς ἅπαντα χρόνον, ἀκωλύτως πάντη καὶ ἀνενοχλήτως. Ἡ βασιλεία μου τοίνυν ἀποδοῦσα πρὸς τὴν ἀνάγκην καὶ τὴν χρείαν τῆς εἰρημένης μονῆς, καὶ ἐπινεύσασα τῇ τούτης ζητήσει, τὸν παρόντα χρυσόβουλλον λόγον ἐπιχορηγεῖ καὶ ἐπιβραβεύει αὐτῇ. Δι' οὗ εὐδοκεῖ, προστάσσει, θεσπίζει, καὶ διορίζεται, ἵνα ἡ διαληφθεῖσα μονὴ τοῦ ἁγίου Παύλου, ἔχῃ ἐν τῇ Θεοσώστῳ νήσῳ Λήμνῳ γῆν ζευγαρίων τεσσάρων, περὶ τὴν τοποθεσίαν τοῦ χωρίου τῶν Βουνεάδων, μετὰ καὶ τῶν μανδρῶν, τῆς τε τῶν ἁγίων Θεοδώρων τῆς εἰς τὸν Φανόν, καὶ τῆς καλουμένης Ροδανιναίας, ἔτι τε καὶ τὴν γῆν παροίκου τοῦ Ροδαμπέλου, ὡς ἂν ἔχῃ ταύτας ἡ τοιαύτη μονὴ ἐλευθέρας τέλους. ὁμοίως ἵνα ἐλευθεροῖ ἐν τῇ αὐτῇ Λήμνῳ κατ' ἔτος, εὐνόμιον προβάτων πεντακοσίων καὶ ἔχει τὰς εἰρημένας εὐεργεσίας τῆς βασιλείας μου ἡ προειρημένη μονὴ εἰς τὸν ἑξῆς ἅπαντα χρόνον, ἀκωλύτως πάντη καὶ ἀνενοχλήτως. Τῇ γοῦν ἰσχύϊ καὶ δυνάμει τοῦ παρόντος χρυσοβούλλου ΛΟΓΟΥ τῆς βασιλείας μου, καθέξει καὶ νεμηθήσεται ἡ προειρημένη μονὴ τοῦ ἁγίου Παύλου, ἐν τῇ Θεοσώστῳ νήσῳ Λήμνῳ, γῆν ζευγαρίων τεσσάρων, περὶ τὴν τοποθεσίαν τοῦ χωρίου τῶν Βουνεάδων, μετὰ καὶ τῶν μανδρῶν, τῆς τε τῶν ἁγίων Θεοδώρων τῆς εἰς τὸν Φανόν, καὶ τῆς καλουμένης Ροδανιναίας, ἔτι τε καὶ τὴν γῆν παροίκου τοῦ Ροδαμπέλου, ὡς ἂν ἔχῃ ταύτας ἡ τοιαύτη μονή, εἰς τὸν ἑξῆς ἅπαντα χρόνον, ἀκωλύτως πάντη καὶ ἀνενοχλήτως. Καὶ εἰς τὴν περὶ τούτων δήλωσιν καὶ ἀσφάλειαν ἐγένετο πρὸς τὴν εἰρημένην μονήν, καὶ ὁ παρὼν χρυσόβουλλος ΛΟΓΟΣ τῆς βασιλείας μου, ἀπολυθεὶς κατὰ μῆνα σεπτέμβριον τῆς νῦν τρεχούσης καὶ ἐνισταμένης πεντεκαιδεκάτης Ἰνδικτιῶνος, τοῦ ἑξακισχιλιοστοῦ ἐννεακοσιοστοῦ μϛ ἔτους, ἐν ᾧ καὶ τὸ ἡμέτερον εὐσεβὲς καὶ θεοπρόβλητον ὑπεσημήνατο κράτος."

„ + Ἰωάννης ἐν Χριστῷ τῷ Θεῷ πιστὸς βασιλεὺς καὶ αὐτοκράτωρ Ῥωμαίων ὁ Παλαιολόγος. +".

Ἰδοὺ δὲ δίδωμί σοι ἐνταῦθα καὶ τὸ ἔκτυπον τῆς πρωτοτύπου τοῦ αὐτοκράτορος Ἰω: τοῦ Παλαιολόγου ὑπογραφῆς:



Καὶ ἡ μὲν ἐπιγραφὴ αὕτη ἐστὶ κινναβαρεῖ χρώματι γεγραμμένη, οἱ δὲ ἑξῆς δύω στίχοι ἐστὶ τὸ ἔκτυπον τῶν πρώτων δύω στίχων τοῦ πρωτοτύπου χρυσοβούλλου λόγου, τοῦ ἀνωτέρου. Σύγκειται δὲ τὸ ὅλον αὐτοῦ ἐκ στίχων 30 πλὴν τῆς ὑπογραφῆς



[κτλ. κτλ. κτλ.]

Καὶ ἡ μὲν εἰκὼν τῆς γραφῆς τοῦ Χρυσοβούλλου Λόγου, τοῦ Ἰωάννου τοῦ Παλαιολόγου, τοῦ διαδεξαμένου Μανουὴλ τὸν Παλαιολόγον τῷ 1424, καὶ ἀρξαμένου ἐπέτεσιν εἴκοσι καὶ τέσσαρα, οὕτως ἔχει. Τὸ δὲ Σιγίλλιον τοῦ οἰκουμενικοῦ πατριάρχου Ματθαίου τοῦ Α', τοῦ καὶ ἀναβάντος ἐπὶ τοῦ πατριαρχικοῦ θρόνου τῷ 1396, καὶ μετὰ τεσσάρων ἐτῶν πατρικὴν ποιμαντορίαν τελευτήσαντος, ἔχει ὡς ἑξῆς:

„+ Ματθαῖος Ἐλέῳ Θεοῦ ἀρχιεπίσκοπος Νέας Ῥώμης καὶ Οἰκουμενικὸς Πατριάρχης."

„Τῶν ἐνασκουμένων τῇ θείᾳ καὶ ἱερᾷ βασιλικῇ καὶ Πατριαρχικῇ μονῇ τοῦ Ξηροποτάμου τῇ κατὰ τὸ ἅγιον ὄρος τοῦ Ἄθω διακειμένῃ τὸ ἀνῆκον αὐτῇ μονύδριον, τὸ ἐπονόματι τοῦ ἁγίου Παύλου τιμώμενον, ἐπὶ συμφωνίᾳ, ἵνα κατέχωσιν αὐτό, οἵ τε ῥηθέντες γέροντες καὶ οἱ τούτων διάδοχοι κατ' ἀλληλουχίαν ἀκατάλυτον. Καὶ ἵνα ᾖ τὸ μονύδριον τοῦ ἁγίου Παύλου, ἐλεύθερον ἀδούλωτον καὶ ἀδέσποτον ἀπὸ τῆς ἐπικρατείας ἢ καταδυναστείας τῶν Ξηροποταμηνῶν, τηρουμένου τούτου μόνου, παρά τε τῶν Ξηροποταμηνῶν πρὸς τοὺς Ἁγιοπαυλίτας, παρά τε τῶν Ἁγιοπαυλιτῶν πρὸς τοὺς Ξηροποταμηνούς, ἵν' ὁπότ' ἂν τις ἑκατέρων εἰς τὴν τῶν ἑτέρων παραβάλῃ μονήν, ἐπιτυγχάνῃ τῆς ἁρμοζούσης αὐτῷ στάσεως τε καὶ τάξεως καὶ τιμῆς, κἄν τε τῆς πρώτης ἄξιος ὢν τύχῃ, κἄν τε τῆς δευτέρας καὶ καθεξῆς. Χρόνου δέ τινος μεταξὺ παρεσχηκότος, καὶ χρείας καταλαβούσης τοὺς Ξηροποταμηνοὺς ἐζήτησαν συγκρότησιν τινά, καὶ βοήθειαν παρὰ τῶν ῥηθέντων Ἁγιοπαυλιτῶν γερόντων, τοῦ τε κυρίου Γερασίμου, καὶ τοῦ κυρίου Ἀντωνίου, καὶ ἔλαβον ἐξ αὐτῶν ἄσημον οὐγγίας ἑκατόν. Εἶτα πρὸς τὰς φιλονεικίας χωρησάντων καὶ ἀμφοτέρων, τῶν ἐν ταῖς ῥηθείσαις μοναῖς, εἰρήνευσαν αὖθις δι' ἐπιστασίας τοῦ ὁσιωτάτου πρώτου τοῦ ἁγίου ὄρους Κυρίου Νεοφύτου Ἱερομονάχου ἐπικυρώσαντος καὶ τὴν ῥηθεῖσαν συμφωνίαν διὰ γράμματος αὐτοῦ· εἰς ὃ καὶ οἱ Ξηροποταμηνοὶ πάντες ὑπέγραψαν καὶ τηρεῖν αὖθις ἐνυπογράφως τὴν ῥηθεῖσαν συμφωνίαν ἔστερξαν· ἣν καὶ τηροῦσι μέχρι τοῦ νῦν· καὶ τηρήσουσι Χρ(ιστοῦ) χάριτι εἰς αἰῶνα τὸν ἅπαντα· εἰρήνην τε καὶ βελτίωσιν, ἀμφοτέραις ταῖς μοναῖς προξενοῦσαν. Καὶ οὕτω μὲν ἔσχε

τὰ περὶ τούτου. Ἐπεὶ δὲ τῷ ἄνωθεν ἐφευρετῇ τῆς κακίας, καὶ κοινῷ πολεμίῳ τῆς σωτηρίας τῆς ἡμετέρας, οὐ λείπουσιν
ἀφορμαὶ σκανδάλων καὶ ταραχαί, ἑτέρωθεν ἐπεγείρει τοῖς Ἁγιοπαυλίταις ὀχλήσεις ἢ σκάνδαλα. Τοῦ γὰρ γέροντος
Ἱερομονάχου κυρίου Διονυσίου ἐκείνου μονὴν καὶ αὐτοῦ δειμαμένου, πλησίον τῆς τοῦ ἁγίου Παύλου μονῆς, εἰς
τὸν πλησίον τόπον αὐτῶν, μετὰ τὸν τοῦ Κυρίου Διονυσίου θάνατον, ὅρια ἢ τόπον ἐζήτησαν οἱ ἐκείνου διάδοχοι· καὶ
ἔλαβον διὰ γράμματος τοῦ τηνικαῦτα πρώτου τοῦ ἁγίου Ὄρους αἰτούντων τῶν ἁγιοπαυλιτῶν, ὅπερ εἰς σκάν-
δαλα ἢ ὀχλήσεις παρεκίνησεν αὐτοὺς ἀφαιρουμένους, ἀφ᾽ ὧν ἐγκρατεῖς ὑπῆρχον πρότερον ὡς ἀπὸ τῆς τῶν
Ξηροποταμηνῶν κατοχῆς τε καὶ δεσποτίας. Οἱ δέ γε τοῦ Κυρίου Διονυσίου οὐ μόνον ἠρκέσθησαν ἐπὶ
τούτοις, ἀλλὰ καὶ ἕτερον ἐπικυρωτικὸν γράμμα παρὰ τοῦ πρώτου κομίζονται πλείονα τόπον αὐτοῖς παρεχό-
μενον· ἀφ᾽ ὅτου τόπου οἱ Ἁγιοπαυλῖται ἐκράτουν, ὅπερ αὐτοὺς καὶ σφόδρα ἐλύπησέ τε καὶ ἐσκανδάλισε, ἢ
πολλὰς ἔμελλε προξενεῖν τὰς ὀχλήσεις· ἃς ἀνακόπτων ὁ τῆς τοῦ ἁγίου Παύλου μονῆς προϊστάμενος ὁ Κύριος
Ἀντώνιος· μετέστη γὰρ πρὸς θεὸν ὁ ἀδελφὸς αὐτοῦ ὁ κύριος Γεράσιμος, σύναξιν ἐζήτησεν ἐκ πασῶν τῶν κατὰ τὸ
Ἅγιον Ὄρος τοῦ Ἄθω σεβασμίων βασιλικῶν μεγάλων μονῶν γενέσθαι, καὶ κοινῇ πάντας διακρίνεταί τε καὶ
παῦσαι τὰ προσδοκώμενα σκάνδαλα. Συναχθέντες τοιγαροῦν ἅπαντες οἱ ἐκεῖσε εὑρισκόμενοι τιμιώτατοι
καθηγούμενοι, καὶ κοινῇ τὰ περὶ τούτου συνδιασκεψάμενοι, ἐκ πασῶν τῶν σεβασμίων μονῶν, γέροντας
ἄνδρας πνευματικούς τε καὶ ἐναρέτους παρέσχοντο τῷ τε πρώτῳ· ὡς ἂν ἐκεῖσε τοπικῶς ἐπιστατήσωσι καὶ διορ-
θώσωνται, εἴ τι τῶν αὐτοῖς διαφερόντων οἱ Ἁγιοπαυλῖται ἀφῃρέθησαν. Οἳ καὶ τοπικῶς ἐκεῖσε παραγενόμενοι
καὶ ἐπιτραχήλια φορέσαντες, καὶ ἀφορισμὸν ἐκφωνήσαντες ἄλυτον, κατὰ τῶν παραχθέντων μαρτυρῆσαι γερόντων.
Ἀπὸ μὲν μαρτυρίας αὐτῶν τῶν καὶ καταγραφομένων εἰς τὸ τῆς τοιαύτης ἐπιστασίας γράμμα, ὃ ἐποίησαν περὶ
τούτου, οὐδὲν εἶχον σαφὲς διακρίναι· ἀπὸ δὲ τοῦ εἶναι τοὺς Ἁγιοπαυλίτας προκατόχους, καὶ μονὴν ἀρχαίαν,
καὶ παλαιὰν νομὴν ἔχοντες εἰς τὸν τόπον, καὶ ἀπὸ τῆς τοῦ τόπου θέσεως διέκριναν καὶ ἔθεντο ὅρια, ἃ καὶ ἀμφο-
τέραις ταῖς μοναῖς μὴ στενοχωρεῖσθαι παρέχει καὶ κατὰ μέρος ἐν τῷ αὐτῶν διαλαμβάνονται γράμματι· τὸ ἀνε-
νόχλητον ἀμφοτέραις ταῖς μοναῖς προξενοῦντα· ἃ δὴ γράμματα ἀναδραμόντες οἱ Ἁγιοπαυλῖται ἔδειξαν τῇ
ἡμῶν μετριότητι δι᾽ ἑνὸς ἀπὸ τῶν τῆς συνοδείας αὐτῶν τοῦ μοναχοῦ κυρίου Γερασίμου καὶ ἠξίωσαν διὰ ΣΙΓΙΛΛ-
ΙΟΥ γράμματος τὸ κῦρος ἐπὶ τῷ ῥηθέντι γράμματι πορίσασθαι εἰς ἀνενόχλησιν αὐτῶν. Ἐπεὶ δὲ καὶ ὁ
τοῦτο ποιήσας πρῶτος καὶ οἱ Ἁγιορεῖται πάντες σχεδὸν ἔτυχον παρόντες ἐνταῦθα, καὶ ἐρωτηθέντες συνοδικῶς
παρὰ τῆς ἡμῶν μετριότητος περὶ τοῦ γράμματος εἰ οὕτως προέβη, ἀληθὲς ἐμαρτύρησαν αὐτὸ εἶναι, καὶ παρ-
αὐτῶν πάντων προβῆναι, καὶ ἀναντιρρήτον ἐπιστάντων μετὰ ἁγίων εἰκόνων, τῷ τοιούτῳ τόπῳ καὶ διακρινάντων
ὅσον διαλαμβάνεται ἐν τῷ γράμματι αὐτῶν ἀπαθῶς, καὶ τηρησάντων τότε δίκαιον τῶν Ἁγιοπαυλιτῶν, καὶ τὸ
μὴ παντελῶς στενοχωρῆσαι τοὺς τοῦ Κυρίου Διονυσίου. Παρεγένοντο δὲ μετ᾽ ὀλίγας ἡμέρας καὶ ὁ ἐκ τοῦ Κυρίου
Διονυσίου μοναχὸς Γεράσιμος, καὶ ἐζήτει τῷ Ἁγιοπαυλίτῃ ἀντικριθῆναι. Ὧν δὴ καὶ παραστάντων συνοδικῶς
παρόντων τοῦ τε Πρώτου καὶ τῶν Ἁγιορειτῶν καὶ τὰ αὐτὰ πάλιν εἰπόντων περὶ τοῦ τῆς ἐπιστασίας γράμματος.
Ἐπεὶ μηδὲν δίκαιον εἶχεν ἀντειπεῖν πρὸς ταῦτα, στέρησιν δὲ ξύλων εἶπεν ἔχειν τὸ κελλίον αὐτῶν ἀπὸ τῶν
τοιούτων ὁρίων, ἡ μετριότης ἡμῶν διὰ τοῦ παρόντος αὐτῆς Σιγιλλίου γράμματος διαγινώσκει καὶ ἀποφαίνεται
τὸ κῦρος ἔχειν καὶ βέβαιον καὶ πάντη ἐρρωμένον καὶ ἀκατάλυτον τὴν ῥηθεῖσαν τῶν Ἁγιορειτῶν μετὰ τοῦ τε πρώτου
περὶ τῶν ὁρίων διάκρισίν τε καὶ ὁροθέτησιν καὶ κατέχειν καὶ νέμεσθαι ἀμφοτέρας τὰς μονάς, τὰ ὅρια ὅσα
διαλαμβάνει τὸ ῥηθὲν γράμμα τῶν Ἁγιορειτῶν, καὶ τηρῆσθαι τὰ ὅρια οὕτως ἀμετάθετα καὶ ἀπαρασάλευτα ὡς
τὸ ῥηθὲν γράμμα διαλαμβάνει. Τῇ γοῦν ἰσχύϊ καὶ δυνάμει τοῦ παρόντος Σιγιλλίου γράμματος τῆς ἡμῶν με-
τριότητος καθέξει ἡ ῥηθεῖσα σεβασμία μονὴ τοῦ ὁσίου πατρὸς ἡμῶν Παύλου καὶ οἱ ἐνασκούμενοι ταύτῃ ἱερο-
μόναχοί τε καὶ μοναχοί, τὰ ὅρια ὅσα τὸ τῶν Ἁγιορειτῶν γράμμα διαλαμβάνει, καὶ δίδωσιν αὐτοῖς ἀνενο-
χλήτως καὶ πάντη ἀδιασείστως, ἀπὸ τῶν τοῦ κυρίου Διονυσίου μοναχῶν εἰς αἰῶνα τὸν ἅπαντα. Εἰ δέ τις παρασα-
λεῦσαι ἐπιχειρήσῃ τὰ τεθέντα ὅρια, τοῦτον ὁποῖος ἄρα εἴη, ὑπὸ βαρύτατον καὶ φρικώδη ἀφορισμὸν
ἔχει ἡ μετριότης ἡμῶν. Εἰς γὰρ τὴν περὶ τούτων δήλωσιν καὶ βεβαίαν ἀσφάλειαν γεγονὸς καὶ τὸ πα-
ρὸν Σιγίλλιον γράμμα τῆς ἡμῶν μετριότητος, ἐπεδόθη τῇ σεβασμίᾳ καὶ θείᾳ μονῇ τοῦ ἁγίου Παύλου,
εἰς μόνιμον καὶ διηνεκῆ τὴν ἀσφάλειαν. Κατὰ μῆνα Σεπτέμβριον τῆς νῦν τρεχούσης ΙΒας [ινδικτιῶνος] [indiktion]
τοῦ ͵ϛΩΙΒ ἔτους: + Ἀπελύθη τῇ δωδεκάτῃ."

" + ΜΑΤΘΑΙΟΣ ἐλέῳ θεοῦ ἀρχιεπίσκοπος Κωνσταντινουπόλεως Νέας Ῥώμης καὶ
οἰκουμενικὸς Πατριάρχης".

Καὶ οὕτως ἔχει ἢ τὸ τοῦ Ματθαίου τοῦ πατριάρχου Σιγίλλιον· πλὴν δὲ τούτου καὶ ἄλλων ἄλλα Πατριαρχῶν
Σιγίλλια, καὶ ἀρχιερέων πιττάκια ποικίλα, καὶ αὐτοκρατόρων χρυσόβουλλά τε καὶ ἀργυρόβουλλα ἀνέγνων ἐν
τῇ αὐτῇ τοῦ ἁγίου Παύλου μονῇ, ὧν ἀντίγραφά τινων ἐδωρήσατό μοι ὁ τῆς μονῆς καθηγούμενος καὶ ἅπερ σκο-
πεύω κοινοποιῆσαι ἐν τῇ ἡμετέρᾳ Ἀθωνιάδι. Νῦν δὲ λέγω σοι ἢ περὶ μιᾶς ἑτέρας οὐχ ἧττον σπουδαίας ἀνακα-
λύψεως τῆς ἑξῆς. Μεταξὺ τῶν παπύρων τοῦ Ἀριστέου καὶ τοῦ Ἑρμᾶ καὶ τοῦ κατὰ Ματθαῖον εὐαγγελίου τοῦ
ὑπὸ τοῦ Ἑρμοδώρου γραφέν, ἀνεκαλύφθησαν καὶ Χαίρωνος Πάφρεως τοῦ Ναυκρατίτου οἱ βασιλικοὶ τῆς Αἰγύπτου κανόνες
καὶ αἱ πρῶται σελίδες τῶν βασιλικῶν ἀναγραφῶν τοῦ γνωστοῦ σοι Οὐρανίου, ἢ οὗ τὰ συγγράμματα πάντα ἀνεκάλυψα
ἐν τῇ συλλογῇ τοῦ φιλτάτου μοι Νικολάου τοῦ Μελισσηνοῦ. Καὶ ἰδοὺ γράφω σοι τὴν πρώτην σελίδα, ἵνα κοινοποιήσῃς
αὐτὴν αὐτῷ, ὅτι ἡ τοῦ παλιψήστου γραφὴ ἐστὶ λίαν δυσανάγνωστος. Ἄρχεται δὲ ἐντεῦθεν:

" Οὐρανίου Ἀναξιμένους, τοῦ Ἀλεξανδρέως, Αἰγυπτίων Βασιλέων ἀναγραφῶν βίβλος πρώτη."
" Δημάχῳ Ἀριστίππου Παταρεῖ Οὐράνιος Ἀναξιμένους χαίρειν, ἢ ἐρρῶσθαι. Εἰς Μένδην γενόμενος
τῇ ἕκτῃ ἐπὶ εἰκάδι μηνὸς Γαμηλιῶνος, τὰς ἱστορίας Πτολεμαίου Μενδησίου τοῦ ἱερέως ἐκτησάμην, καὶ τὰς ἐν τῷ
ἱερῷ Μένδητος ἱερὰς γραφάς, εὐμενοῦς τυχὼν ὑποδοχῆς, εἶδον· ἀναγνοὺς δὲ ἢ τὰς ἀναγραφὰς τὰς ἱεράς, τὰς
ἐν Μέμφιδι ἢ Ἡλιουπόλει, ἢ τὰς Μανέθωνος τοῦ Σεβεννύτου συγγραφάς, πρὸς δὲ ἢ Μαλέμμεως ἢ Θμούεως
τῶν Διοσπολιτῶν τὰς ἱερὰς συντάξεις, ἵνα μηδὲν παραλείπω τῶν ἀληθῶς ἱστορουμένων, τὰς μὲν τῶν βασιλέων
ἀναγραφὰς ἐν τρισὶ συνέγραψα βίβλοις, τὰς δὲ τῶν Ἀρχιερέων, ἢ τὰ τούτων νόμιμα, ἐν πέντε, τὰς δὲ Αἰγυπτίων
οἰκήσεις, τὰς καὶ μᾶλλον τῶν ἄλλων ὡς ἐμοὶ δοκεῖ σπουδαίας, ἐν ἕξ· ἐν ἑπτὰ δέ, τὰ Αἰθιόπων ἢ Ἀράβων
ἱστορούμενα, ἅπερ Διοσκουρίδῃ ἢ ταῦτα πρὸς ταῖς ἄλλαις ταῖς τῶν Λιβύων ἢ Καρῶν συγγραφαῖς ἐπέδωκα
κομίσαι σοι. Σὺ δὲ εἰς Ῥώμην ἀφικόμενος, μὴ ὀκνήσῃς τὰς Ῥωμαίων πράξεις ἀπὸ κτίσεως Ῥώμης ἀπομνημο-
νεῦσαι, ὅπως τὸ τέλος τῶν σῶν συντάξεων πέρας σχῇ τὰς Ῥωμαίων πράξεις. Ἔρρωσο". Μεσράλαμις ὁ Νουάλμεως
Αἴγυπτον οἰκήσας σὺν παισὶ ἢ ἐγγόνοις, ταύτης ἐβασίλευσε πρῶτος", κτλ. Ἐβουλόμην, ὦ φίλτατε, γράψαι σοι
ἐνταῦθα ἢ τὰ λοιπὰ τῶν σελίδων, ἀλλά, δυστυχῶς, οὐ δύναμαι τοῦτο ἤδη ποιῆσαι, ἢ συγχώρησόν μοι. Ὁ σὸς Σιμωνίδης.
Ἐν Σιναίῳ τῇ ιδ΄ Ἀπριλίου τοῦ ἔτους ͵αωνϐ΄.

Ἤθη καὶ ἔθιμα
τῶν ἀρχαίων Αἰγυπτίων

ἐξαχθέντα μὲν ἐξ ἱερογλυφικῶν μνημείων καὶ κυρίως
ἐκ τοῦ ἀγάλματος τοῦ Ἀρχιερέως τῶν Διοσπολιτῶν Ψαμμα-
χούθωνος ὑπὸ τοῦ διδάκτορος τῆς φιλοσοφίας καὶ ἰατροῦ

Κωνσταντίνου Σιμωνίδου,

καὶ πρὸς τὸν αὐτοῦ προστάτην Ἀλέξανδρον Σκαρλάτ
Στούρτζαν, τὸν μυστικὸν σύμβουλον τοῦ τε ἀοιδίμου αὐτοκρά-
τορος πασῶν τῶν Ῥωσσιῶν Ἀλεξάνδρου τοῦ πρώτου, καὶ
Νικολάου τοῦ πρώτου γραφέντα καὶ σταλέντα,
ἐκδοθέντα δὲ παρομοιοτύπως ταῦτά τε καὶ ἄλλα σὺν τούτοις
τοῦ αὐτοῦ ἀνδρὸς φιλολογικὰ ἔργα λίαν σπουδαῖα
ὑπὸ

Καλλινίκου Ἱερομονάχου τοῦ Θεσσαλονικέως,

καὶ ἀνατεθέντα τῷ αὐτῷ τοῦ συγγραφέως προστάτῃ

Ἀλεξάνδρῳ Στούρτζα

τῷ κλεινοτάτῳ, καὶ πάσης Ἑλλάδος εὐεργέτῃ καὶ μου-
σῶν μουσηγέτῃ συγγνωμοσύνης ἕνεκα.

"εὐτυχεῖς οἱ ὑπὲρ τῆς ἀνθρω-
πότητος ἐργαζόμενοι."

Ἐν Μόσχᾳ. ἔτει σωτηρίῳ ,αωνγ'.
μηνὸς Αὐγούστου ΙΑ'.

Τρισέβαστέ μοι κηδεμών,
Περὶ μὲν τῶν πρώτων ὑμετέρων ἀρχαιολογικῶν ἐρωτήσεων ἠπήντησα ἐγκαίρως
διὰ τοῦ πατριάρχου Κωνσταντίου, Νῦν δὲ φέρε εἴπωμεν καὶ περὶ τοῦ λιθογραφικοῦ ἐκτύ-
που, τοῦ γνωστοῦ σοι Αἰγυπτιακοῦ ἀγάλματος, τοῦ ἀνακαλυφθέντος ἐν Σαΐδι πρὸ πολ-
λοῦ ἤδη χρόνου, καὶ μεταβιβασθέντος εἰς τὴν Ἑσπερίαν Εὐρώπην, καὶ οὗ μάλιστα τὸ
περιεχόμενόν ἐστι τοσοῦτον ἐνδιαφέρον, ὅσον περ ϗ ἡ ἐπιγραφὴ αὐτοῦ ἀντίκειται ὅλως
τῇ ἀληθείᾳ· καὶ γὰρ οἱ ἐπιγραφεῖς τοῦ πολυτίμου μνημείου τούτου ἀποδιδόασιν αὐτὸ Ραμσῇ
τινὶ Δ' βασιλεῖ γενομένῳ Αἰγύπτου, οὐκ οἶδα ποῦ στηριζόμενοι· αὐτὸ γὰρ τοῦτο μονονοὺχ
ἰδίᾳ φωνῇ βοᾷ· "Ψεμμεχούθωνεἰμὶ ὁ Ἄμμωνος ἀρχιερεὺς", καὶ οὐχὶ Ραμσῆς. Οὐδαμοῦ
δὲ τὸ τοῦ Ραμσῆ ὄνομα ἐν αὐτῷ ἀπαντᾶται, καὶ ἀληθῶς θαυμάζω πόθεν τοῦτο οἱ σοφοὶ ἐπι-
γραφεῖς τοῦ σπουδαίου τούτου Αἰγυπτιακοῦ μνημείου μαθόντες ἐπὶ τῷ ἐπέγραψαν. ἀλλ' εἴ περ
τοῦτο οὕτως εἶχεν, ἔδει τοὺς ἐπιγραφεῖς εἰπεῖν τι ϗ περὶ τοῦ ἀγάλματος ποσοῦ τῶν
ἱερῶν συμβόλων, τὴν ἱστορίαν τοῦ εἰκονιζομένου δηλούντων· ἀλλ' ὡς ἔοικεν ἀγνοοῦντες οἱ
ἄνθρωποι τί ταῦτα σημαίνει ἐπέγραψαν αὐτὸ οὐχὶ ὡς εἰδότες, ἀλλ' ὡς ἄφνω ἐπῆλθεν
αὐτοῖς. Ὑμεῖς δὲ χαίρειν αὐτοῖς εἰπόντες, χωρῶμεν εἰς ἀνάγνωσιν τῶν συμβόλων, ἅπερ φράζει τάδε:
"Τοῦ ἕκτου ϗ τριακοστοῦ τῆς ἱεραρχίας Πετεχμάνθου (ὅπερ ἐγερσίβροτος ἑρμηνεύεται)
Διοσπόλεως ἀρχιερέως, διεληλυθότος ἐνιαυτοῦ, ϗ τῶν φιλεόρτων τῆς Αἰγύπτου λαῶν παραγενομένων εἰς
Διόσπολιν, τὴν ὑπερμεγέθη, ϗ πανδημίας ὑπόπλεων πόλιν, ὅπως θυσίας ϗ προσφορὰς τῷ Θεῷ Ἀμ-
μωνι προσενέγκωσιν αἱ πόλεις ἅπασαι τῆς Αἰγύπτου, τῆς ἑορτῆς ἕνεκα, κατὰ τὸ ἔθος, τῆς Βουβά-
στεως ἐξαιρουμένης διὰ τὸ ὀργιάζειν αὐτὴν ἐν τῇ ἡμέρᾳ ταύτῃ, ὡς ἡ θεὸς ἐκέλευσέ ποτε Ἄρτεμις,
ψυχὴν ἔλαβον ζῶσαν εἰς αἰῶνας ἱέρακος ἐκπνεύσαντος εὐθὺς ὡς ἐτέχθην ὑπὸ τῆς μητρός, τῇ τοῦ θεοῦ
Ἄμμωνος κελεύσει, καὶ τὸ ζωογόνον εἶδον φῶς τοῦ θεοῦ Ἡλίου, καίρων τῇ αὐτῇ ἡμέρᾳ, ἡλίου ὑπὲρ κεφα-
λῆς ἱσταμένου· ἐν ᾧ ὁ μὲν πατὴρ Ἀλεμαθὼθ (νικόβολος) θυσίαν ἐπετέλει τὴν μεγάλην ὑπὸ νεουργῷ
στολῇ, ἡ δὲ μήτηρ Τεχμάνθη (κλυτόμητις), ἐμπνευσθεῖσα ὑμνοπόλει. Τοῦ ὀμφαλοῦ δὲ ἀποτεμνομένου
ὀμφαλιστῆρι, ἀετὸν ἤκουσαν κλάζοντα ἐπὶ πολὺ οἱ προεστῶτες, ἐπὶ τὸν ὀβελίσκον ἱζόμενον τὸν οὐρα-
νομήκη, τὸν ἐπὶ τῷ φάραγγι Φαχὲμ ἀνεγηγερμένον ἐγγὺς τοῦ ναοῦ τοῦ Ἄμμωνος, ἐγγυτέρω δὲ
τοῦ τόπου ὅπου ἐγεννήθην, ὅπερ οἰωνίζεται (καθὼς οἱ ὑπὸ Θεοῦ ἔνθους τοῖς λαοῖς κοινὸν ἐποίησαν
εὐθὺς γενέσθαι τοῦτο ἐν φωναῖς ὀργάνων), ἀρχιερατεύσει τὸ γεννηθέν, ϗ ἡ πόλις Διὸς εὐτυχήσει
ὅσον οὐδέποτε ἐν ταῖς ἡμέραις τῆς ἱεραρχίας αὐτοῦ. Δὶ δ' θύσαντος τοῦ πατρός, κατὰ τὰς γραφάς,
μόσχον τῷ θεῷ Ἄμμωνι καὶ τοῖς συνναίοις εὔτραφῆ καὶ καθαρόν, μόσχον τὸ σήμαντρον φέροντα
τῆς θυσίας τοῦ ἱερέως Φατερμαχῶ (ὀνειρογενής) τῶν κεράτων ἐξηρτημένων, ἐπὶ τῶν πέντε καὶ ἑξή-
κοντα καὶ τριακοσίων πάντων λειτουργῶν τοῦ Θεοῦ Ἄμμωνος καὶ τῆς τεκούσης· ἔνθα τὰ λο-
χεῖα τῆς δελφύος ἐκρεύσαντα σὺν τῷ ἀμνίῳ διὰ τοῦ σχίσματος, ὥσπερ φλὲψ ὑδάτων βίᾳ ἐκρα-
γεῖσα, ἐμίχθησαν τῇ γῇ· Τὰ δὲ πλήθη ἄνθεσιν ἐν μύρῳ διαβρόχοις ὁ τοῦ Ἄμμωνος ἀρχιερεὺς περι-
ερράντισεν· ὀμφακομέλιτος δὲ ἔπιον πάντες, ἐκ νεοπλυνῶν χαλκῶν ποτηρίων τῶν γεννητόρων
χωρίς, ἀνθοσμίου δὲ ὁ ἀρχιερεύς· τῷ δὲ πατρὶ οἶνον ὀξύνην φοινίκειον κατὰ χειρῶν ἔχεεν ὁ πάτρως,
ὕδωρ δὲ τῇ μητρὶ ἡ πατράδελφος. ἐπὶ τούτοις δὲ ὁ τοῦ Ἡλίου ἀρχιερεὺς Χεφρὶν (ὑψηλόνους)
τὰς χεῖρας ἄρας σὺν τοῖς γεννήτορσιν εἶπε μεγάλῃ τῇ φωνῇ, κατὰ τοῦ ἱερείου τὰ ὄμματα
πήξας· ΨΕΜΜΕΧΟΥΘΩΝΑ (θεοῖς εὐδόκιμος) καλῶ τὸ γεννηθέν. ϗ μύρον ἐπιχύσας αὐτῷ ἀπηλ-
θε· σὺν αὐτῷ δὲ καὶ τὸ πλῆθος ἅπαν τὸν ἐπὶ πολλῶν ἐκπνεύσαντα ὑπὲρ τοῦ γεννηθέντος, ἱέρα-
κα ἐν σινδόνι φέροντες καθαρᾷ μετὰ κλαυθμῶν ϗ θρήνων. Τοῦτον δὲ ταριχεύσαντες οἱ ἐκ γέ-
νους ἐπιτηδειότατοι πάππων τῶν κατὰ τὴν Διόσπολιν Ραχάμμεως, Σαθέφεως, Μοχθεμώ-
καὶ κεδρίᾳ θεραπεύσαντες, ἔτι δὲ σμύρνῃ ϗ κιναμώμῳ, λιβανωτῷ τε ϗ κασσίᾳ, ἐν τῇ ἱερᾷ
ἔθαψαν λάρνακι, τῇ ϗ ἐν τῷ ἱερῷ Ἄμμωνος· ϗ τάδε ἐπέγραψαν γράμμασιν ἱεροῖς· "Ἐγὼ
εἰμὶ ὁ δοτὴρ τῆς ζωῆς Ψεμμεχούθωνος τοῦ ἀρχιερέως". Μετὰ δὲ ταῦτα εἰς εὐωχίας ἐτρά-
ποντο εὐθύς. Νυκτὸς δὲ ἀρχομένης ἐπ' οἴκου πάντες ἀνεχώρησαν, τὰ Χεμμούθια λέγοντες
κατὰ ῥυθμὸν ϗ φατρίας. Ἐγὼ δὲ ἐπ' ὤμων φερόμενος τοῦ πατρὸς ἐν λευκοῖς περικείμενος
ἱματίοις, εἰς Χαθάχην ἤλθομεν τὴν κωμόπολιν τὴν πρὸς ἕω τῆς πόλεως τοῦ Διὸς οὖσαν, ϗ
μικρὸν ἀπέχουσαν αὐτῆς· ἔνθα καὶ ὁ πατρικὸς οἶκος ἦν, καὶ τὸ μητρικὸν ἐθήλαζον γάλα. Τῆς
γεννήσεως δὲ ὕστερον τρισὶ πρὸς ταῖς ἐννενήκοντα ἡμέραις τὸ αἰδοῖον περιετμήθην ὑπὸ τοῦ
πατρὸς ἐν τῷ ἱερῷ τοῦ Ἄμμωνος ϗ ὕδατι ἐλούσθην ψυχρῷ. τῇ δὲ ὑστεραίᾳ περὶ ἡλίου ἀνα-
τολὰς ταῦρον ὁ πατὴρ τῷ Ἄμμωνι θύσας, κατὰ τὸν νόμον, ἐν πᾶσι τοῖς οἰκείοις, δεκάτην δὲ
ὁ πάτρως προσενεγκὼν τῷ ἀρχιερεῖ, ϗ πάλιν μόσχον τῷ Ἡφαίστῳ καὶ τοῖς συνναίοις ὁ πάππος
ὁ ἐκ μητρός, ἐγὼ δὲ εἰς ὕδωρ ὑπὸ τοῦ ἀρχιερέως πολλάκις βληθείς, ϗ τοῦ ῥύπου καθαρθεὶς
ἐσθῆτα ἐνδύομαι ἀστράπτουσαν, θυσανωτὴν ὑπὸ τοῦ ἐκ πατρὸς πάππου, ϗ ἐν ταῖς μη-
τρικαῖς ἀγκάλαις ἐπαναπαύομαι χαίρων· ϗ εὐθὺς θυμιάμασιν ἁγνισθέντες, εἰς τὸν πατρικὸν

,β'. ἐπανήλθομεν οἶκον ἅπαντες. Μελῶν δὲ τὸν ὕμνον ὅ, τε ἀρχιερεὺς καὶ οἱ ἱερεῖς ᾄδοντες ἐν αὐλοῖς πο-
λυφθόγγοις, περὶ τὴν ἡτοιμασμένην αὐτοῖς τράπεζαν κατεκλίθησαν. Τροφῆς δὲ μεταλαβόντων ἁπάν-
των τῶν δαιτυμόνων, καὶ οἴνου ποτισθέντων φοινικείου, ἑπτάκις τῆς τραπέζης κύκλῳ ὁ πατὴρ τὸν
νεκρὸν περιέφερε· ϗ τὸ ἐν αὐτῷ νεκρικὸν ὁμοίωμα τοῖς παισὶ δείξας τῷ λιχανῷ δακτύλῳ, εἰς γῆν
κατέθετο τὴν σορὸν, γεγωνυίᾳ εἰπὼν τῇ φωνῇ· « Παθὰ ἐββωὶθ φέθιχ χυθὼλ σάουν ἀλραὲ
θέουρ σφεχὲ ἀσχωσοῦν χαθάουν παθὰ μώχεμ ἄθε σφάχουν ψέχθωρ»! (ἤτοι ἔχε ἐν τῷ στό-
ματί σου, ὦ ἄνθρωπε, τὴν φοβερὰν τοῦ θανάτου ἡμέραν ἐν παντὶ καιρῷ· καὶ γὰρ θνητὸς ἐγεννήθης·
ταύτην δ' ἔχων ἐν τῷ στόματί σου ἀεὶ τέρπου καὶ πίνε). Μετὰ δὲ τούτους τοὺς λόγους ἀνα-
στάντες οἱ τὴν ἡλικίαν ἀκμάζοντες εἰς ἑκατὸν τεσσαράκοντα ὄντες ὑπὸ ψιθύρᾳ καὶ γιγγρά-
λῳ εὐτάκτως ἐχόρευον. Μετὰ δὲ τὸν χορὸν τοῦ Μανερῶ ὕμνου ἤρξαντο ᾄδειν φωνῇ κλαυ-
θμυρᾷ, ϗ εὐθέως ἀπῆλθον ἕκαστος εἰς τὰ ἴδια. Ἐγὼ δὲ ἐν τῷ οἴκῳ ἔμενον παρὰ τῇ μητρί, γά-
λακτι τρεφόμενος μητρικῷ μέχρι τοῦ πέμπτου ἔτους. Μετὰ δὲ τροφῆς ἱερᾶς μεταλαβών, τοῦ-
ρον ἀνήγαγεν ὁ πατὴρ τῷ θεῷ Ἄμμωνι θυσίαν τῶν ἱερῶν σαλπιγκτῶν σαλπιζόντων. Ὡς δὲ παῖς ἐ-
γενόμην τέλειος, θύσας ἐπ' εὐφήμου βοῆς, μόσχον τῷ τρισμεγίστῳ Φρετούχθις (θεοπάρακτ^{ῳ})
πάππος ὁ ἐκ πατρὸς, τὴν κεφαλὴν σφραγίζομαι ὑπὸ τοῦ ἀρχιερέως σφραγῖδι ἱερᾷ, τοῦ θεοῦ
ἐνώπιον στάς, λευκὸν ἱμάτιον περιβεβλημένος· καὶ τὴν παρακειμένην τῷ θεῷ ἱερὰν χρυ-
σόπαστον βίβλον ἀσπάζομαι τῷ στόματι ϗ τὰ ἐν αὐτῇ παρὰ τοῦ πατρὸς μανθάνω· ϗ πρῶτον τὸν
ᾨΔΟΝ ἀπὸ στόματος λέγειν ἔμαθον ἐν ὀλίγῳ χρόνῳ, ϗ τὸν ὩΡΟΣΚΟΠΟΝ ὕστερον, μειράκιον
γενόμενος τέλειον· καὶ ἀκολούθως τὰ λοιπὰ (τριάκοντα τὸν ἀριθμὸν ὄντα βιβλία) ὑπὸ τοῦ πα-
τρὸς διδάσκομαι πάντα, καὶ ἱερογραμματεὺς τῷ θεῷ Ἄμμωνι χρίομαι. Μετὰ δὲ μεταστάντ^{ος}
τοῦ ἡμετέρου πατρὸς ἐκ τῆς ἀνθρωπίνης φύσεως εἰς τὴν αἰωνιότητα, τὴν πατρικὴν ἱερατείαν παρα-
λαμβάνω ϗ τῷ θεῷ προσάγω θυσίας. Βραχὺ δὲ ὕστερον γήρᾳ τελευτήσαντος καὶ τοῦ ἀρχιερέως ἄ-
παιδος, τὴν Διόσπολιν κλαυθμὸς διαδέχεται μέγας, καὶ τοὺς ἱερεῖς διέταξεν ὁ νόμος πενθεῖν ἐπὶ τρεῖς
ὅλας ἡμέρας βρώσεως καὶ πόσεως ὅλως ἀπεχομένους, καὶ τοὺς πλουσίους τῶν πολιτῶν, καὶ τ^{οὺς}
ἐπὶ σοφίᾳ διαφέροντας καὶ τὸν λαὸν ἅπαντα. Ὡς δὲ αἱ ὡρισμέναι παρῆλθον τοῦ πένθους ἡμέραι,
καθαρισθεῖσα ἅπασα ἡ πόλις τοῦ Διὸς ὕδατι, ἱερεῖα προσήγαγον τοῖς θυσιαστηρίοις Ἄμμωνος
τῇ ὑστεραίᾳ τοῦ πένθους, ἡμέρας ὑπολαμπούσης. Μετὰ δὲ τὴν θυσίαν κλίναντες τὸ γόνυ οἱ ἱερεῖς ἅ-
παντες τοῦ θεοῦ ἐνώπιον, ϗ τὰς χεῖρας ἄραντες, τούτοις δὲ ἑπομένως πᾶσα ζῶσα ψυχὴ τῆς πόλεως
τοῦ Διὸς εἴπομεν· « Μέγας ὁ Θεὸς Ἄμμων!!! τίς ὁ ἀρχιερεὺς ἡμῶν; δεῖξον ἡμῖν αὐτὸν
καὶ προσκυνήσομεν»! Καὶ ἐβρόντησεν ὁ θεὸς ϗ ἐκίνησε τὰ θεμέλια τοῦ οἴκου αὐτοῦ, ϗ ἐξέπληξε
τὰς ψυχὰς ἡμῶν, καὶ εἶπεν ἡμῖν. Ψεμμεχούθων ὁ ἱερεὺς ὁ Ἀχεμαθὼθ υἱός. Οὗτος ἐστιν
ὁ ἀρχιερεὺς ὑμῶν, οὗτος ἄρξει ὑμῶν»! Ἀναστὰς δ' ἐγὼ τότ' εὐθὺς ἔντρομος ϗ τὸν Θεὸν προσ-
κυνήσας, ἔστην ἀκίνητος κατὰ πρόσωπον τοῦ Θεοῦ Ἄμμωνος, προσκυνούμενος ὑπὸ τῶν ἱερέων
καὶ τοῦ λαοῦ μέχρι δείλης ὀψίας. Ὡς δὲ ὁ ἀρχιερεὺς τοῦ θεοῦ Ἡφαίστου Χεφθὰν ἐξῆλθε τῶν ἀδύ-
των τοῦ Θεοῦ Ἄμμωνος, φέρων ἐπὶ τοῦ μετώπου τὸ σῆμα τοῦ Θεοῦ Ἄμμωνος καὶ εἶπε
τοῖς ἱερεῦσιν Ἄμμωνος ἐνδύσατε τὸν ἀρχιερέα ὑμῶν τὴν ἐσθῆτα τὴν ἱεράν, τὴν πρὸ τῶν ποδῶν
τοῦ Θεοῦ ἡμῶν Ἄμμωνος κειμένην· ἤχησεν ἡ σάλπιγξ τὸν ὕμνον τοῦ Θεοῦ. Καὶ ἐγὼ μὲν
ἐνδύομαι τὴν ἐσθῆτα τὴν ἱεράν· ὁ δὲ λαὸς ἑκατόμβην ὅλην προσάγει τῷ Θεῷ εἰς θυσίαν, καὶ εὐθὺς
εἰς εὐωχίας ἐτράπησαν ἅπαντες. περὶ δὲ ἀλεκτρυόνων ᾠδὰς θύσαντες Ἄρει τῷ Θεῷ μόσχον,
εἰς τοὺς οἴκους ἡμῶν ἐγενόμεθα, τὸν Θεὸν ἐν ὀργάνοις ὑμνοῦντες. Πρωῒ δὲ τῆς ἡμέρας ἐγερθέντες
τοῦ ὕπνου ἤλθομεν εἰς τὸ ἱερὸν Ἡφαίστου τὸ πολύχρυσον, τὸ ἐν τῇ πόλει τοῦ Διὸς, δεκάτην προσοί-
σοντες τῷ Θεῷ κατὰ τὸν νόμον. Ὡς δ' ἐγγὺς τοῦ θυσιαστηρίου ἐγενόμεθα, οἵ τε τοῦ Ἄμμωνο^{ς}
καὶ οἱ τοῦ Ἡφαίστου ἱερεῖς, ἔνθεν μὲν Ψεμμεχούθωνος τοῦ ἀρχιερέως Ἄμμωνος ἡγουμένου
πάντων, ἑτέρωθεν δὲ Χεφθὰν τοῦ τοῦ Ἡφαίστου, ὑπὸ θείας αὔρας αἴφνης ἅπαντες κατελήφθημεν
ϗ τῆς φωνῆς ἠκούσαμεν τοῦ Θεοῦ ὑποτρεμούσης, τηλόθεν ἐρχομένης, καὶ λεγούσης ἡμῖν,
ὦ ἄνδρες Διοσπολῖται, θύσαντες ἀπέλθετε ὅσον τάχιστα πρὸς ἀπάντησιν τοῦ ἐχθροῦ ὑμῶν· ϗ
γὰρ ἐγὼ ὁ θεὸς ὑμῶν θορυβήσω αὐτὸν, ϗ τὰς φάλαγγας αὐτοῦ ἀνατρέψω, ϗ ὑποχειρίους ποιήσω
γενέσθαι ὑμῖν τοὺς ἐχθροὺς ὑμῶν. Βραχὺ δὲ μετὰ τούτους τοὺς λόγους καὶ τὴν θυσίαν, ἰδοὺ
ἀνὴρ ἐν φλογὶ πυρὸς, ὀλόθριξ, τὴν μάχιμον ἡλικίαν ἔχων, ϗ τὰς ὀφρῦς ἀνέλκων ἐφ' ἅρματος ἐλα-
πώλου ἐν μέσῳ τοῦ ναοῦ, οὐκ οἶδα πόθεν ἐλθών, φωνὴν ἐκκεκαθαρμένην ἀφῆκε λέγουσαν·
« Ψεμμεχούθων, Ψεμμεχούθων, θῦσον θῦσον τῷ Ἄρει τὴν ταχίστην· κίνδυνος γὰρ ἐπίκει-
ται ὑμῖν μέγας»! Καὶ μετὰ τὴν φωνὴν ἀφανὴς ἐγένετο εὐθὺς ὁ ἀνήρ. Ἐγὼ δὲ πρηνὴς πεσών, ἐξ-
εγείρομαι ὑπὸ τοῦ Χεφθάν· καὶ γενόμενος ἐν ἐμαυτῷ θύω ταῦρον τῷ θεῷ Ἄρει, ὁ δὲ λαὸς
ἅλις ἐξέδραμον ἔνοπλοι ϗ τὰς τάξεις διεσκέδασαν τοῦ ἐχθροῦ τὰς περὶ τὸ διατείχισμα, καὶ πολλοὺς
ἀνεῖλον τῶν ἀρίστων φεύγοντας. Ἡγεῖτο δὲ τοῦ λαοῦ Σμούχθουφις (κευθμωνοχαρής). Ἀλλ' ὁπηνίκα
ὁ ὕπατος τοῦ ἡμετέρου στρατοῦ ϗ πάντων τῶν λαῶν τῆς Αἰγύπτου Ἀρμεσσῆς (ὁ βροτοσσόος ἑρμη-

γεύεται) ἐφόρμησε πανστρατιᾷ, κατὰ νώτου γενόμενος, συνῆψαν τὴν μάχην. Ἐμοῦ δὲ ἐπιφανέντος αὐθωρὶ ἐφ' ἅρματος πυρὸς ἐν τῷ μέσῳ τοῦ λαοῦ μου, ὡς ὑπ' ἀύλου δυνάμεως φερόμενος, ταραχὴν καὶ φόβον ἐνέβαλον ταῖς ψυχαῖς τῶν ἐναντίων, κατὰ μέτωπον αὐτῶν ἐπελθών, ὠθούμενος ὑπὸ τοῦ θεοῦ, καὶ εἰς φυγὴν ἐτράπησαν, τὸν ἑαυτῶν βασιλέα καταλιπόντες ἐν τῇ σκηνῇ τετραυματισμένον· οἱ δὲ ἡμέτεροι ἐπεδίωκον ἀεί, μέχρι δειλινοῦ καιροῦ, ξίφεσιν αὐτοὺς ϗ δόρασι πλήττοντες. Τέως δὲ νικήσαντες τὸν ἐχθρὸν κατὰ κράτος ϗ τοῦ στρατοπαίδου κρατήσαντες, Λάλουν ϗ φαρλὰν τοὺς στρατηγοὺς Ἀράβων, ζωγρείᾳ λαβόντες κατεκρεουργήσαμεν, καὶ τὸν βασιλέα οἱ ὄχλοι ἀνεσκολώπησαν, εἶτα δὲ εἰσήλθομεν εἰς τὴν πόλιν ἐν φωναῖς ᾀσμάτων καὶ τῷ θεῷ τῶν ὅπλων προσήνεγκε δῶρον ὁ ὕπατος τῶν λαῶν, τὴν δεκάτην τῶν λαφύρων. Ἐγὼ δὲ θύσας καὶ αὖθις Ἄρει ϗ τοῖς συνναίοις βοῦν ἀρτιμελῆ, ἀπῆλθον οἴκαδε· σὺν ἐμοὶ δὲ ϗ ἅπας ὁ λαὸς τῆς Διοσπόλεως, ὃς λαφύρων ἐπλούτει. Ἀπὸ δὲ τῆς ὥρας ἐκείνης, καθ' ἣν ὁ λαὸς παραδόξως συνεπλάκη τοῖς ἐχθροῖς ϗ νικήσας αὐτούς, χειρὶ τῶν θεῶν ἡμῶν, πορφυρᾶν ἐποίησε γενέσθαι τὴν γῆν τῆς Διοσπόλεως, τὴν ἐκτὸς τῶν τειχῶν ἐκ τοῦ αἵματος τῶν πεσόντων, ἑβδομήκοντα ἀριθμοῦνται πλήρη ἔτη μέχρι τῆς ἡμέρας ταύτης, καὶ οὐδεὶς ἐφάνη καθ' ἡμῶν ἐρχόμενος, ~~μέχρι~~ ὡς οὐ πολὺ πρίν, ταράξαι ἡμᾶς. Ἡ δὲ χώρα τοῦ Διὸς ἀφθόνως παρέχει τοὺς καρποὺς τοῖς γεωργοῖς ἀεὶ ἐν τῷ χρόνῳ τούτῳ, καὶ πλοῦτον ἔσχεν ἡ πόλις Διὸς θησαυρῶν ἀνεξαντλήτων. Περὶ δὲ καρπῶν συλλογὴν τοῦ ἑβδομηκοστοῦ ἐνιαυτοῦ Αἰθίοπες ἐπεβάλοντο καταλῦσαι τὴν Αἰγυπτίων βασιλείαν. Καὶ ἰδοὺ καθ' ἡμῶν ὁ μέγα φρονῶν καὶ πολλὰ μεγαλογῶν βασιλεὺς τῶν Αἰθιόπων Ἀλφουλανθάρ, ὁ τὴν ὄψιν θηρίοις ἔχων παραπλησίαν, καὶ ὅλως εἰσελθὼν, δυνάμεσιν ἐλθὼν καταπληκτικοῖς, τὴν πόλιν ἡμῶν ἀπέκλεισε· καὶ τὰς σκηνὰς αὐτοῦ οὐ μακρὰν τῶν τειχῶν ἐστήσατο· τὴν δὲ τετάρτην τῆς πολιορκίας περὶ πρῶτον ὕπνον προσπεσὼν ἄφνω τῇ πόλει Διός, παρ' ὀλίγον αὐτῆς ἐκράτησε· πλήξας δ' αὐτὸν ἐφορμῶντα ὁ Ῥέχμανις, εἷς τῶν στρατηγῶν τῆς Διοσπόλεως λίθῳ μέλανι κατὰ μέσον τοῦ στήθους, ἀπὸ τοῦ ὑψηλοῦ τείχους τοῦ ἱεροῦ Ἄμμωνος κατέβαλεν ἐπὶ τὸν φάραγγα τὸν πρὸς ἡλίου δυσμάς· στενάζων τὴν ψυχὴν ἀπεμλρέψατο, ἐνώπιον τῶν αὐτοῦ στρατηγῶν. Τούτου δὲ πεσόντος λύπη ἐγένετο τοῖς πολεμίοις, ὅτι ὁ βασιλεὺς αὐτῶν ἐτελεύτησε· ϗ εἰς τοὐπίσω σὺν βοῇ πολλῇ ἀνεχώρουν καὶ περὶ φυγῆς ἐβουλεύοντο. Ὁ δὲ διασκεπτικὸς στρατηγὸς ἡμῶν θύσας Ἄρει ἐξῆλθε τῶν τειχῶν, δυνάμεσιν αὐτοκελεύστοις ἐνισχυθεὶς ὑπὸ τοῦ θεοῦ· καὶ ἐκ τοῦ κατόπιν ἐπιδραμών, καὶ εἰς τὴν ἀπὸ ξίφους μάχην συμπεσών, ἐνίκησεν Αἰθίοπας τοὺς ὠμοβοΐναις ἀσπίσιν καθωπλισμένους ϗ ξυλίνοις τόξοις τετραπήχεσι, τοὺς θεοὺς ἡμῶν καὶ προστάτας τῆς πόλεως Διὸς τοῦ τηλικούτου κινδύνου, τὸν κατὰ μέτωπον τοῦ ναοῦ, τὸν ἐν τῷ πεδίῳ Σαφαθᾷ ὀβελόν, τὸν μικροῦ ὑπερνέφαλον, ἤγειρε τοῖς θεοῖς καὶ ἱερεῖα προσάγειν αὐτοῖς κατ' ἐνιαυτὸν ἐκέλευσε τοὺς πλουτοῦντας τῶν πολιτῶν ὁ ἀρχιερεὺς τοῦ Ἡφαίστου κατά τι λόγιον γενόμενον αὐτῷ ἐν τῷ θύειν τῷ θεῷ Ἡφαίστῳ. Ἐγὼ δὲ καθαρισθῆναι τὴν πόλιν ὕδατι κελεύσας τὴν αὐτὴν τῆς νίκης ἡμέραν, καὶ θύσας μετὰ τὸ καθαρισθῆναι αὐτήν, τῷ ἐκδικήσαντι τοὺς ἐχθροὺς ἡμῶν, παρέδωκα τὸ πνεῦμα εἰς χεῖρας θεοῦ χρίσας ἀρχιερέα τοῦ ἱεροῦ Ἄμμωνος, Ἐσμούνθουφιν τὸν ἡμέτερόν τε, καὶ Γεσάμιδος πρωτότοκον υἱόν. Μέλαινα δὲ τὴν Αἴγυπτον περιεκάλυψε λύπης νεφέλη ἐμοῦ ἐκπνεύσαντος:·

Καὶ ταῦτα μέντοι φράζει τὰ τοῦ ἀγάλματος ἱερὰ γράμματα ἑρμηνευόμενα, ἅπερ οἱ ἐπιγραφεῖς αὐτοῦ μὴ εἰδότες τὸ νοούμενον αὐτῶν ἀπεσιώπησαν εἰς μόνην ἁπλὴν ἀρκεσθέντες ἐπιγραφὴν καὶ ταύτην δυστυχῶς ψευδῆ διὰ τὸ ψευδοδιδασκάλων ἀκούειν. Λίθος οἷος οὗτος σῴζων πολλὰ ἐν ἑαυτῷ λίαν σπουδαῖα τοῖς περὶ τὰ ἀρχαῖα τὴν σχολὴν ποιουμένοις καὶ μάλιστα τοῖς περὶ τὴν Αἰγυπτιακὴν ἀρχαιολογίαν τιμᾶται οὐχὶ ὡς γινωσκόμενον, ἀλλ' ὡς ἁπλοῦν μνημεῖον τῆς γηραιᾶς Αἰγύπτου· ἐν ᾧ ἄλλως εἴπερ ἐγινώσκετο ὁποῖον ἀληθῶς ἐστὶ πολλῶν ἂν θησαυρῶν ἀντάξιον ἐλογίζετο· καὶ γὰρ πολλὰ ἐν βραχέσι παραδιδόασιν ἡμῖν δι' αὐτοῦ οἱ γλυφεῖς τοῦ ἀγάλματος σπουδαῖα τὰ μάλιστα, καὶ παρὰ τοῖς σημερον σοφοῖς τὸ παράπαν ἀγνοούμενα· ἠθῶν δηλονότι τῶν ἀρχαίων τῆς Αἰγύπτου λαῶν περιγραφάς, ϗ ἐθίμων ἐξιστορήσεις καὶ συμβεβηκότων ἱστορικὰς διηγήσεις ϗ ἕτερ' ἄττα παρὰ τῷ ἔθνει ἐκείνῳ ἐκ πάλαι διὰ νομοθεσιῶν ἐπικεκρατηκότα, καθάγε πολλὰ τούτων παρὰ τοῖς ἀρχαίοις ἱστορικοῖς παραδέδοται ἡμῖν.

Καὶ πρῶτον μὲν πάντων μανθάνομεν ὡς τρεῖς ἐχρημάτισαν ἀρχιερεῖς τοῦ θεοῦ Ἄμμωνος ἐν Διοσπόλει ὅτε Ἀρμεσσῆς Αἰγυπτίων ἐβασίλευεν. ὧν ὁ πρῶτος Πετέχμωνθις ἐκαλεῖτο, ὃν ἄπαιδα τελευτήσαντα Ψεμμέχουθων διαδέχεται ὁ υἱὸς Ἀχεμαθώθεως τοῦ ἱερέως Ἄμμωνος καὶ Ψεχμάνθης. Τοῦτον δὲ ὁ πρωτότοκος υἱὸς αὐτοῦ τε ϗ Γεσέμιδος (εὐνέτιδος αὐτοῦ) Ἐσμοῦνθις τοὔνομα διαδέχεται τελευτήσαντα. Ταῦτα δέ, φησι, καὶ Πέτενσις ὁ Τανομψίτης

δ!
ἐν ταῖς ἱερατικαῖς αὐτοῦ γραφαῖς, ἅπερ ἑρμηνευόμενα φασὶ τάδε: " Ἐν δὲ τῇ ἕκτῃ καὶ ὀγδο-
ηκοστῇ τῶν πανηγύρεων Βασσοῦ χρίεται ἀρχιερεὺς Ἄμμωνος ἐν Διοσπόλει τῇ τοῦ Θεοῦ κελεύσει Πε-
τεχμῶνθις ὁ παρὰ τῷ Ἄμμωνι Θεῷ λίαν ἀγαπητὸς ὁ υἱὸς Ἀχχοῦ καὶ Δάχχις, ὃς ἑπτὰ ἄρξας Ἀμ-
μεσσεῖ καὶ ἡμέρας δέκα Ψεμμεχοῦθις διαδέχεται υἱὸς Ἀχεμαθὼθ καὶ Ψεχμάνθις ἐφ' οὗ Ἄρα-
βες πρῶτα πανστρατιᾷ ἐπ' Αἴγυπτον γιγνόμενοι, καὶ Αἰθίοπες δεύτερα κατεστρέφθησαν ὅλως
τῇ τῶν Θεῶν δυνάμει καὶ τῇ φρονήσει Ψεμμεχούθεως καὶ τοῦ ἀηττήτου βασιλέως ἡμῶν Ἀμ-
μεσσῆ Ψεμμεχοῦθις δὲ Ἀμμεσσεῖ μὲν ἀρχιερατεύσας πέντε, ἑπτὰ δὲ Σαΐχχῃ εἰς θεοὺς μετ-
έστη· ὃν μεταστάντα Ἐσμοῦνθις ὁ υἱὸς αὐτοῦ τε καὶ Γεσέμιδος γυναικὸς ὁ πρωτότοκος τὴν ἱε-
ραρχίαν λαμβάνει"... Καὶ ταῦτα μέν, φησιν, ὁ Πέτενσις, σὺν αὐτῷ δὲ καὶ ἕτεροι τούτου οὐκ
ὀλίγοι τῶν ἐπισήμων Αἰγυπτίων σοφῶν ταὐτὰ φράζουσιν, οἷοι εἰσὶ μάλιστα Χέγωφις ὁ Εἰλειθυιο-
πολίτης, Πανέμαθις ὁ Ἡλιουπολίτης, Χέθχις ὁ Σεβεννύτης, Τάθρις ὁ Χιθαρίτης, Ποῦπρις ὁ Θεσμ-
φίτης, Μάδανις ὁ Νειλοπολίτης Ἀάθαθις ὁ Ἀνταιουπολίτης, καὶ ἄλλοι συχνοὶ περὶ ὧν οὐ κατεπεί-
γει λέγειν τι ἐπὶ τοῦ παρόντος.

Δεύτερον δέ, ὡς ἐκτὸς τῶν παραδεδομένων ἡμῖν παρ' Ἡροδότῳ ἓξ μεγάλων ἑορτῶν τῶν
ἐν ταῖς ἐπισημοτέραις τῶν πόλεων τῆς Αἰγύπτου πομπικῶς ἀγωμένων, καθά γε Ἡρόδοτος ἱστορεῖ
ἐν τῇ δευτέρᾳ τῶν Μουσῶν Εὐτέρπῃ, μανθάνομεν καὶ ἑβδόμην ἐπίσης μεγάλην, τελουμένην
οὐ κατ' ἐνιαυτόν, ἀλλὰ κατὰ ἑπταετίαν ἐν Διοσπόλει, ἥπερ ΟΥΧΕΑΡΣΙΧΕΩ ἐκαλεῖτο παρ' Αἰγυ-
πτίοις, ἤτοι Κοσμοποιΐας τὰ ἐπιτέλεια, καθάπερ Πέτενσις ἐν τοῖς πατρῴοις φησί. Καὶ γὰρ
οὐ μίαν, οὐδὲ τὰς ἓξ μόνας τὰς δὲ Ἀρτέμιδος, Ἴσιδος, Ἀθηνᾶς, Λητοῦς, Ἡλίου, Ἄρεως, περὶ ὧν
Ἡρόδοτος μνείαν ποιεῖται, ἀλλὰ πολλάς, καθά γε σὺν ἄλλοις καὶ Ἡρόδοτος αὐτὸς φησιν, οὕτω λέγων:
" πανηγυρίζουσι δὲ Αἰγύπτιοι οὐκ ἅπαξ τοῦ ἐνιαυτοῦ, πανηγύρις δὲ συχνάς". (β'. § 59). Ἐτε-
λεῖτο δὲ αὕτη τῇ πρώτῃ ἐπὶ εἰκάδι μηνὸς Φαωφί, ὥς, φησι, Πέτενσις ἱερᾷ γραφῇ φάσκων τάδε
ἑρμηνευόμενα:) " Τὴν δὲ πρώτην ἐπὶ εἰκάδι μηνὸς Φαωφί, ἑβδόμῳ δὲ τῆς ἑορτῆς Χαθὰ ἡ
ΟΥΧΕΑΡΣΙΧΕΩ πανηγυρίζεται ἡ μεγάλη ἐν τῇ πόλει Διός, ἐν ᾗ δεῖ πάντας παραγίγνεσθαι τοὺς
ἀρχιερεῖς τῶν πόλεων ἁπασῶν ἅμα λειτουργεῖν ἄτερ Βουβάστεως. Τούτοις δὲ καὶ τοὺς ἄρχοντας
τῶν πόλεων ἁπασῶν· πρὸς δὲ καὶ τοὺς ἡγεμόνας τῶν ταγμάτων ἑκάστης πόλεως σὺν τοῖς ἐπισήμοις καὶ
τοῖς ἐμβλήμασιν αὐτῶν, καὶ τοὺς βουλομένους τῶν πολιτῶν κατὰ φρατρίας ἐν τάξει ἑπτὰ πρὸ
τῆς ἑορτῆς ἡμέρας. Τὰ δὲ ἱερεῖα προπέμπειν χρὴ ἑκάστη τῶν πόλεων ἐστεφανωμένα τε καὶ σεση-
μασμένα ταῖς ἱεραῖς σφραγῖσι, καθάπερ καὶ τὰς ἀπαρχάς, τάς τε κοινὰς καὶ τὰς ἰδιωτικάς."

Τρίτον, ὡς συνάμα τῇ ἑορτῇ τῶν τῆς κοσμοποιΐας ἐπιτελείων ἐτελεῖτο καὶ ἑτέρα ἐν Βουβάστῃ
τῇ πόλει τῶν γενεθλίων τῆς Ἀρτέμιδος καὶ τῶν ἑαυτῆς ἰδιοσήμων, διὰ τὸ ἔφορον εἶναι αὐτήν, κατὰ τὴν
κατὰ τὴν παρ' Αἰγυπτίοις δόξαν, πάσης γεννητικῆς ἐμψύχου οὐσίας, καὶ ἄλλων θ' ἕνεκα συγγε-
νῶν ἀλλήλοις πρὸς τὴν κοσμοποιΐαν, ὡς ὁ αὐτός φησι Πέτενσις, καὶ περὶ ὧν σοι ἐν τῷ περὶ ἑορ-
τῶν βιβλίῳ ἐν πλάτει ἐξιστόρησα.

Τέταρτον, ὡς τὰ περὶ τῆς μετεμψυχώσεως παρ' Αἰγυπτίοις διαθρυλλούμενα παραίτιοι τῶν συγγρα-
φέων, ἥνπερ καὶ οἱ πάλαι τῶν Ἑλλήνων ὡς ἰδίαν ᾠκειώσαντο δόξαν βεβαιοῦται καὶ ἐκ τοῦ ἀκαταμαχήτου μαρ-
τυρίου τούτου. Τὸν δὲ πολυπράγμονα Ἡρόδοτον, ὅνπερ τινὲς τῶν καθ' ἡμᾶς νέων τερατολόγον καλοῦσι
δικαιοῖ κατὰ πάντα. Λέγει γὰρ Ἡρόδοτος περὶ τούτου τάδε· " Πρῶτοι δὲ καὶ τόνδε τὸν λόγον Αἰ-
γύπτιοί εἰσιν οἱ εἰπόντες, ὡς ἀνθρώπου ψυχὴ ἀθάνατός ἐστι: τοῦ σώματος δὲ καταφθίνοντος,
ἐς ἄλλο ζῷον αἰεὶ γινόμενον ἐσδύεται· ἐπὰν δὲ περιέλθῃ πάντα τὰ χερσαῖα καὶ τὰ θαλάσσια καὶ τὰ
πετεινά, αὖτις ἐς ἀνθρώπου σῶμα γινόμενον ἐσδύειν· τὴν περιήλυσιν δὲ αὐτῇ γίνεσθαι ἐν τρισχι-
λίοισι ἔτεσι· τούτῳ τῷ λόγῳ εἰσὶ οἳ Ἑλλήνων ἐχρήσαντο, οἱ μέν, πρότερον, οἱ δέ, ὕστερον, ὡς ἰδίῳ
ἑωυτῶν ἐόντι· τῶν ἐγὼ εἰδὼς τὰ ὀνόματα, οὐ γράφω". (β'. § 123).

Πέμπτον, ὡς ὅτε ἡ μεγάλη θυσία τῆς Κοσμοποιΐας ἐτελεῖτο, ἔδει τὸν ἀρχιερέα τοῦ Ἄμμωνος
ἐνδεδυμένον εἶναι νεουργῷ στολῇ, καθάπερ καὶ τοὺς λοιποὺς τοῦ θεοῦ λειτουργούς.

Ἕκτον, πληροφορούμεθα ὡς ἐπὰν ἀετὸς ἐν γεννήσει παιδὸς ἄρρενος ἐτύγχανέ που καθήμενος
κλάζων οἰωνίζετο, ὡς μέγας ἀνὴρ ἔσεται τὸ γεννηθέν· ἀρχιερεὺς δηλονότι, στρατηγὸς ἢ βασιλεύς, ἢ
ἐπὶ σοφίᾳ δεινός, ἤ τι τῶν τοιούτων· καὶ ταῦτα οὕτως οἰωνίζετο εἴπερ ὁ ὄρνις πρὸς ἀνατολὰς βλέπων
ἔκλαζεν· εἰ δὲ πρὸς δυσμάς, τἀναντία τούτοις, ὥς, φησιν, Θούμμενις ὁ Λίβυς ἐν ταῖς περὶ Οἰωνῶν σοφ...
τῶν Αἰγυπτίων γραφαῖς. συνάμα δὲ οἰωνίζετο καὶ τὸ εὐτυχὲς ἢ τἀνάπαλιν τῆς ἀρχῆς τοῦ οἰωνιζομένου βρέφ.

Ἕβδομον, ὡς εἴποτε τοιοῦτος εὐτυχὴς οἰωνὸς ἐτύγχανε γενέσθαι τινὶ νεογεννήτῳ, ἔδει τοὺς τοκεῖς
αὐτοῦ θῦσαι μόσχον Ἄμμωνι καὶ τοῖς συνναοῖς αὐτῷ Ἀθηνᾷ Ἑρμῇ Ἡφαίστῳ, διὰ τὸ δημιουργοὺς αὐτοὺς
εἶναι καὶ κυρίους τῆς κτίσεως πάσης κατὰ τὴν τῶν Αἰγυπτίων δόξαν.

Ὄγδοον, τεκμαίρεται μὲν καὶ ἐξ ἄλλων τεκμηρίων, μᾶλλον δὲ καὶ ἐκ τοῦδε, ὡς αἱ περὶ τῶν
ἱερείων δοκιμασίαι ἐγίγνοντο ὥσπερ Ἡρόδοτος ἱστόρηκεν λέγων ὧδε. " Τοὺς δὲ βοῦς τοὺς ἔρ-
σενας τοῦ Ἐπάφου εἶναι νομίζουσι, καὶ τούτου εἵνεκα δοκιμάζουσι αὐτοὺς ὧδε· Τρίχα ἢν καὶ

μίαν ἴδηται ἐπεοῦσαν μέλαιναν, οὐ καθαρὸν εἶναι νομίζει· δίζηται δὲ ταῦτα ἐπὶ τούτῳ τεταγμένος τῶν τις ἱερέων, καὶ ὀρθοῦ ἑστεῶτος τοῦ κτήνεος καὶ ὑπτίου, καὶ τὴν γλῶσσαν ἐξειρύσας, εἰ καθαρὴ τῶν προκειμένων σημείων, τὰ ἐγὼ ἐν ἄλλῳ λόγῳ ἐρέω (α). Κατορᾷ δὲ καὶ τὰς τρίχας τῆς οὐρῆς, εἰ κατὰ φύσιν ἔχει πεφυκυίας· ἢν δὲ τουτέων πάντων ᾖ καθαρός, σημαίνεται βύβλῳ περὶ τὰ κέρεα εἱλίσσων· καὶ ἔπειτα γῆν σημαντρίδα ἐπιπλάσας, ἐπιβάλλει τὸν δακτύλιον· καὶ οὕτω ἀπάγουσι. ἀσήμαντον δὲ θύσαντι θάνατος ἡ ζημίη ἐπικέεται. Δοκιμάζεται μὲν νῦν τὸ κτῆνος τρόπῳ τοιῷδε". (β'. § 38)

Ἔννατον δέ, ἔδει τὴν ὑπὲρ παντὸς οἰωνιζομένου ἐπ᾽ ἀγαθῷ νεογνοῦ θυσίαν τελεσθῆναι ὑπὸ τοῦ πατρὸς ἐν ᾧ χώρῳ τὰ λοχεῖα ἔρευσαν ἐνώπιον τῶν ταπτῶν (ἐθεράπευον γὰρ τοῖς θεοῖς καὶ μάλιστα τοῖς πολιούχοις καὶ ἔνταπτοι πολλοί) λειτουργῶν τοῦ Ἄμμωνος πάντων, πέντε καὶ ἑξήκοντα καὶ τριακοσίων ὄντων καὶ τῆς μητρὸς τοῦ βρέφους ἐκ δεξιῶν τοῦ σφαγείου καθεζομένης ἐπὶ στιβάδος ἐπηόρου τε καὶ ἐπηρεφοῦς τὸ βρέφος ἐν ἀγκάλαις φερούσης, ὥς φησι Σίρωχις ὁ Θρινερίτης. Οἱ δὲ ἱερεῖς ἑκάστου θεοῦ ὅτι μὲν ἦσαν πολλοὶ τὸν ἀριθμὸν βεβαιοῦται καὶ ὑπὸ τοῦ Ἡροδότου λέγοντος τάδε: "Ἱρᾶται δὲ οὐκ εἷς ἑκάστου τῶν θεῶν, ἀλλὰ πολλοί, τῶν εἷς ἐστι ἀρχιερέως· ἐπεὰν δέ τις ἀποθάνῃ, τούτου ὁ παῖς ἀντικατίσταται". (β'. § 37). Ἦν δὲ καὶ ὁ ἀριθμὸς τῶν λειτουργῶν ἑκάστου θεοῦ ὡρισμένος, ὡς ὧδε· Ὥρῳ τῷ θεῷ ἔδει λειτουργεῖν ὀκτὼ πρὸς τοῖς εἴκοσιν ἱερεῖς, Ὀσίριδι δέ, τρεῖς καὶ ἑκατόν· Ἴσιδι δέ, ἐννέα πρὸς τοῖς εἴκοσιν. Ἄμμωνι δέ, πέντε πρὸς τοῖς ἑξήκοντα καὶ τριακοσίοις· πρὸς δὲ καὶ ἕτερος προσετίθετο ἐμβόλιμος κατὰ τετραετίαν. Ἡφαίστῳ δέ, πέντε πρὸς τοῖς ἑβδομήκοντα· Ἀθηνᾷ δέ, ἑπτὰ μόνους· Ἄρει δέ, τρεῖς καὶ τριάκοντα· Λητῷ δέ, τριάκοντα πλὴν δύω· Ἡρακλεῖ δέ, δυωκαίδεκα· Ἀφροδίτῃ δέ, ἕνα καὶ τριάκοντα πρὸς τοῖς ἑπτακοσίοις· Χυχωεφεῖ δέ, ἑπτά· ἦν δὲ ἡ θεότης αὕτη τῆς ἐμψύχου ὕλης, ἧς τὴν λατρείαν ἀπένειμον τῷ Ἄμμωνι, καὶ κριοκέφαλον τοῦτ᾽ ἕνεκα εἰκόνιζον. Δεχιφεεῖ δὲ ἢ Ὑεφρανεῖ, ὀκτώ· ἡ δὲ λατρεία ταύτης ἦν τοῖς ἀνέμοις καθιερωμένη, ἢ κάλλιον εἰπεῖν τῇ Ἥρᾳ· σημαίνει δὲ τὰ ὀνόματα ταῦτα ἑρμηνευόμενα ἀκριβῶς πάνζωος καὶ πανφθορος, ἢ ἑλληνικώτερον πανδαμάτειρα καὶ φερέσβιος. Ἰσχωμαῷ δέ, τέσσαρας πρὸς τοῖς εἴκοσιν. Ἡ δὲ θεότης αὕτη ἐλατρεύετο κυρίως ἐν Θήβαις ὑπὸ μορφὴν γυναικός, ὥς περ καὶ ἡ Δεχιφέ, ἔστι δὲ τὸ στοιχειακὸν πῦρ καθαπερεὶ καὶ τὄνομα τοῦτ᾽ αὐτὸ σημαίνει ἑρμηνευόμενον. Ἄπιδι δέ, τριάκοντα· Μένδητι δέ, ἐννέα πρὸς τοῖς εἴκοσι. πάσαις δὲ ταῖς λοιπαῖς θεότησιν (ἐλατρεύοντο γὰρ πλεῖω ἕτεραι τούτων θεότητες παρ᾽ Αἰγυπτίοις, καθάγε φησὶ Σίρωχις, καὶ περὶ ὧν ἐν ἄλλοις τὰ εἰκότα ἐροῦμεν) πέντε καὶ τεσσαράκοντα. Τοῖς δὲ πολιούχοις προσετίθεντο παρὰ τοῖς ταπτοῖς καὶ ἕτεροι οἱ Θουχουρρὲ ἰδίᾳ καλούμενοι, ἤτοι λειτουργοὶ ἔκταπτοι. καὶ τισι μὲν τούτων, πέντε καὶ ἑβδομήκοντα, τισὶ δέ, πέντε καὶ ἑβδομήκοντα καὶ ἑκατόν. Ὁ δὲ λόγος τοῦ τοιούτου ὁρισμοῦ τῶν λειτουργῶν ἑκάστης θεότητος ποικίλος ὢν καὶ σπουδαῖος λίαν ἐν τῷ περὶ τῶν λειτουργιῶν συγγράμματί μου ἐδήλωσά σοι.

Δέκατον, ὡς ἔδει μετὰ τοιαύτην θυσίαν, οἵα ἡ προκειμένη (ἦσαν γὰρ περὶ ἑκάστης θυσίας ἴδιαι διατάξεις, καθὰ φησι Τάουρις ὁ Διοσπολίτης), ἁγιάσαι μύρῳ τὰ πλήθη, δέσμη ἀνθέων διαβρόχῳ περιρραντίζοντας αὐτά.

Ἑνδέκατον, ὡς ἔδει τοὺς προρρηθέντας ἅπαντας πίνειν μετὰ τὸν ἁγιασμὸν ὀμφακομέλιτος, (φεερραμᾶ Αἰγυπτιστὶ καλούμενος) τοὺς δὲ γεννήτορας μηδόλως τούτου χρῆν γεύεσθαι, χαλκοῖς νεοπλύτοις ἀγγείοις καὶ οὐχὶ ἄλλοις διά τινα νόμον ἱερὸν ἐν τῷ περὶ ἱερῶν νόμων συντάγματι δηλωθησόμενον. Μέμνηται δὲ τοῦ ἔθους τούτου καὶ Ἡρόδοτος οὑτωσὶ λέγων· "Θεοσεβέες δὲ περισσῶς ἐόντες μάλιστα πάντων ἀνθρώπων, νόμοισι τοιοισίδε χρέωνται· ἐκ χαλκέων ποτηρίων πίνουσι, διασμέωντες ἀνὰ πᾶσαν ἡμέρην· οὐκ ὁ μέν, ὁ δ᾽ οὔ, ἀλλὰ πάντες." (β'. § 37).

Δωδέκατον, εἰώθασιν οἱ Αἰγύπτιοι μετὰ τὴν ὑπὲρ τοῦ βρέφους γιγνομένην πόσιν καθαίρεσθαι τοὺς τοκεῖς τοῦ νεογνοῦ ὑπὸ τῶν συγγενῶν· τὸν μὲν πατέρα αὐτοῦ οἴνῳ ὀξύνῳ φοινικέῳ τοῦ πάτρου προσενεγκόντος αὐτῷ εἰς τοῦτο· τὴν δὲ μητέρα ὕδατι μόνῳ καθαρίζεσθαι αὐτὴν ὑπὸ τοῦ αὐτῆς πατραδέλφου.

Τρισκαιδέκατον, ὡς μετὰ τὸν καθαρισμὸν τῶν τοκέων ἔδει τὸν ἀρχιερέα τοῦ Ἡλίου δέξασθαι ἐν ἀγκάλαις τὸ βρέφος καὶ προσίεσθαι τῷ θυσιαστηρίῳ καὶ ἐπιτιθέναι αὐτῷ τῇ πρὸς ἕω τοῦ θυσιαστηρίου αἱριδομένῃ στιβάδι· μετὰ δὲ ταῦτα κλίνονται τὰ γόνατα ἅμα τοῖς τοῦ παιδὸς τοκεῦσι κατέναντι τοῦ ἱερείου καὶ αἴρονται τὰς χεῖρας σὺν αὐτοῖς πρὸς οὐρανὸν φωνεῖναι τάδε· "Βασχεθὲχ φαθαὶ φέθχι φαθὶ βεβαὶχ δεββαὶχ ἔθρι ὠθεθρὲ ὕνδα δαὶ χυθθὺν ἀχαιὼ νουὲν ἀαὶ αἰμωραχὶ δαὶ ῥασσεόωχα μὲθ μενὶ νοῦε. Βάσχεθε νοῦεν δωχωνὶ θέθωνα ἐναχὶ ὧβαὶ θχεῖ δαὶ ἐμμῶ ῥασχλὲν ἑωχ δεῖ· ἰεῦ σχάθυ μεθρὺ μουνναβά." οἷον· "Πρόσδεξε ὁ τῶν πάντων κύριε ἀψύχου τε παντὸς καὶ ἐμ-

(α) ... "Ὁ δὲ Ἄπις οὗτος, ὁ Ἔπαφος, γίνεται μόσχος ἐκ βοὸς ἥτις οὐκέτι οἵη τε γίνεται ἐς γαστέρα ἄλλον βάλλεσθαι γόνον. Αἰγύπτιοι δὲ λέγουσι σέλας ἐπὶ τὴν βοῦν ἐκ τοῦ Οὐρανοῦ κατίσχειν, καί μιν ἐκ τούτου τίκτειν τὸν Ἄπιν. Ἔχει δὲ ὁ μόσχος οὗτος, ὁ Ἄπις καλεόμενος, σημήϊα τοιάδε· ἐὼν μέλας, ἐπὶ μὲν τῷ μετώπῳ λευκὸν τετράγωνον φορέει· ἐπὶ δὲ τοῦ νώτου, αἰετὸν εἰκασμένον· ἐν δὲ τῇ οὐρῇ, τὰς τρίχας διπλᾶς· ἐπὶ δὲ τῇ γλώσσῃ κάνθαρον." (Γ'. § 28.)

ψύχου, ὁρατοῦ τε ϗ ἀοράτου τὴν ἁγνήν τε ταύτην καὶ σεσημασμένην ὁλοκάρπωσιν τῶν γεννη-
τόρων τοῦ ἄρτι τεχθέντος σοῦ πλάσματος τούτου· πρόσδεξε ταύτην καὶ εὐδόκησον πληρωθῆναι
τὸ πεπρωμένον τοῦ νεογνοῦ ὥσπερ οἱ μάντεις σου ἐμπνευσθέντες ὑπὸ τῆς σῆς ἐνθέου αὔρας
οἰωνίσαντο". Εἶτα δεξάμενον αὖθις ἐν ἀγκάλαις τὸν παῖδα ἀποκαλεῖν αὐτὸν οὕτως ἢ οὕ-
τως, καὶ ἀποδιδόναι τῇ μητρί. Μετὰ δὲ ταῦτα τὸ μύρον λαβόντα περιβρέχειν τὸ ἱερεῖον καὶ
καταφλέγειν πυρὶ ϗ ἀπέρχεσθαι εὐφημούμενον ὑπὸ τῶν αὐτοῦ λειτουργῶν.

Τεσσαρασκαιδέκατον, ὡς ἔδει, ὅτε ὁ ἀρχιερεὺς τοῦ ἡλίου ἀπήρχετο, ἕπεσθαι αὐτῷ καὶ
τοὺς θεασαμένους τὸν ὄρνιν ἐκπνέοντα, ὧν τοὺς ἐν ὑπεροχῇ ὄντας ἐχρῆν φέρειν αὐτὸν ἐν και-
νῇ σινδόνι περιεχειμένον, καὶ τὸν ὑπὸ τοῦ νόμου τεταγμένον θρῆνον λέγειν ἐν ῥυθμῷ ἄχρις τοῦ
αὐτόθεν ἔγγυστα ἀπαντωμένου ἱεροῦ· κἄπειτα τοῖς τεταγμένοις ταριχευταῖς παραδιδόναι, ἔν τε
τῷ ὁρισμένῳ κατατιθέναι χώρῳ ἐπιγράφοντας τῇ λάρνακι ἅμα τῷ ὀνόματι τοῦ γεννηθέντος καὶ
τὸν οἰωνόν.

Πεντεκαιδέκατον, ὡς εἰώθασιν οἱ Αἰγύπτιοι προτιμᾶν μᾶλλον τὰς ἐκτάκτους ἐπισυμβαινού-
σας αὐτοῖς θρησκευτικὰς τελεσιουργίας ἢ τὰς τακτικάς. Καὶ γὰρ τῇ πρώτῃ τῆς ἑορτῆς τῆς Κοσμο-
ποιίας ἐν ᾗ μάλιστα ἡ μεγάλη θυσία ἐτελεῖτο, συνέβη γεννηθῆναι παραδόξως τὸν διάδοχον τοῦ
ἀρχιερέως Ἄμμωνος· Διὸ ἔδει τοὺς Αἰγυπτίους ὑπερτιθέντας πρὸς καιρὸν τὴν τῆς Κοσμοποιίας ἑορτὴν
καὶ τὰ γενέθλια τοῦ γεννηθέντος τελέσαι ὡς ὁ νόμος κελεύει, μεγαλοπρεπῶς. Τούτων δὲ τελεσθέντων ἐπα-
νακάμπτειν εἰς τὰ ὁσημέραι τεταγμένα. Τοιοῦτοι γὰρ ἦσαν οἱ Αἰγύπτιοι πάντες καὶ μάλιστα οἱ ἱερεῖς
αὐτῶν, θρησκεύειν δηλονότι αὐτοὺς δραστηρίως τά τε ἔκτακτα θρησκεύματα, καθάπερ καὶ τὰ τακτικά.
διὰ τὸ "Θεοσεβεῖς περισσῶς εἶναι αὐτοὺς μάλιστα πάντων ἀνθρώπων", καθά γε σὺν ἄλλοις καὶ Ἡρόδο-
τος φησιν.

Ἑκκαιδέκατον, ὡς ἔδει τοὺς Αἰγυπτίους ἐπὰν ἐπὶ οἴνου μετὰ τὴν πανήγυριν τῆς Κοσμοποιίας
ἐγίνοντο ᾄδειν αὐτοὺς κατὰ φατρίας τὴν ἐκ τῆς βίβλου Ὠδοῦ ᾠδὴν τῆς κοσμοποιίας τὴν ἰδίως
προσαγορευομένην ΟΥΧΕΡΣΙΧΕΝΙ εἰ μή τι ἕτερον ἐν τῇ ἑορτῇ συνέβαινεν ἔκτακτον γίγνεσθαι.
Εἰ δὲ τοὐναντίον τι, ὥσπερ καὶ ἐνταῦθα, τὰ ΧΕΜΜΟΥΘΙΑ ἤ τι ἕτερον συνᾷδον ταῖς περιστάσε-
σι ϗ τῷ νόμῳ. Φράζει δὲ τὰ Χεμμούθια χαρᾶς εὐαγγελία, ἅπερ ᾠδὴ οὖσα γενέθλιος ἐψάλ-
λετο ἐν ταῖς γενεθλίαις ἡμέραις τῶν ἀρχιερέων μόνον, ὥς φησι Σίρωχις.

Ἑπτακαιδέκατον, ὡς [illegible] ἔδει φέρειν τὸ τοῖς θεοῖς καθιερωθὲν παιδίον ἐπὶ ὤμων ἐν λευ-
κοῖς ἱματίοις περιβεβλημένον οὐδεὶς ἕτερος πλὴν τοῦ πατρὸς αὐτοῦ, εἴπερ ἐτύγχανε τεχθῆναι.
ἐκτὸς τῆς οἰκίας, ἐντὸς δὲ τεχθέντος ἄλλως ὥριζεν ὁ νόμος γενέσθαι, περὶ οὗ ἐν τῷ περὶ γεννήσεως
τῶν καθιερωμένων παίδων κεφαλαίῳ ἐδήλωσά σοι.

Ὀκτωκαιδέκατον, ὡς δίδωσι σὺν ἄλλοις καὶ γεωγραφικὰς πληροφορίας λέγων, ὅτι πρὸς ἕω
Διοσπόλεως καὶ οὐ μακρὰν αὐτῆς ἔκειτο κωμόπολις Χαθάχη καλουμένη· ἀφ' ἧς κατήγετο Ἀχεμα-
θὼθ ὁ Ψεμμεχούθεως πατήρ· ἡ δὲ κωμόπολις αὕτη ἦν ποτε ἐπισημοτάτη διὰ τὸν ἐν αὐτῇ ναὸν
τοῦ Ἀρποκράτους καὶ τὴν ἐκτέλεσιν τῶν ὀργίων τοῦ θεοῦ τῆς Ἐχεμυθίας τούτου, ὥς φησι Χάρων
ὁ Ναυκρατίτης. Παρ' ἐκτὸς δὲ τῶν γεωγραφικῶν εἰδήσεων δίδωσιν ἡμῖν καὶ τοπογραφικάς, μνη-
σθεὶς φάραγγός τινος Φαχὲμ καλουμένης· ἐφ' ἧς Οὐρανομήκης ὀβελὸς ὑψοῦτο Σεσώστρεως τρό-
παιον, ἐν ᾧ ἦν ἐγγεγλυμμένα ἱερᾷ γραφῇ, κατὰ τὸν πανάρχαιον τῶν Αἰγυπτίων ἰδιάζοντα τρό-
πον, τὰ ἡρωϊκὰ τοῦ ἥρωος τούτου τῆς Αἰγύπτου κατορθώματα, ὥς φησι Μίσθρης ὁ Πηλου-
σιώτης Αἰγυπτίᾳ διαλέκτῳ ἐν ταῖς ἡρωϊκαῖς αὐτοῦ γραφαῖς. Καὶ ὃς μάλιστα σὺν ἄλλοις ἀρχαί-
οις λειψάνοις καὶ τὸν ὀβελὸν τοῦτον μεταγράψας διέσωσεν, οὗ τὸ ἔκτυπον ἀπέστειλά σοι πρὸ μι-
κροῦ. Ἔκειτο δὲ ὁ ὀβελὸς οὗτος ἐγγὺς τοῦ ναοῦ τοῦ Ἄμμωνος πρὸς ἀφηλιώτην ἄνεμον, καθὰ
Μίσθρης γράφει.

Ἐννεακαιδέκατον, ὡς εἰώθασιν οἱ Αἰγύπτιοι (κατὰ τὸν ἐπικρατοῦντα παρ' αὐτοῖς ἐκ παλαιοῦ νόμον,
ὃν Μνεύης ἔγραψεν ὁ Διοσπολίτης Ῥαχχούεως ἀρχιερέως Ἄμμωνος τρίτος ἀπόγονος) περιτέμνειν
τὰ μὲν καθιερωμένα βρέφη τὴν τρίτην καὶ τριακοστὴν μετὰ τὴν γέννησιν αὐτῶν ἡμέραν, τὰ δὲ μὴ
μετὰ ἐνιαυτὸν ὅλον, ὅσπερ ἐστὶ τέσσαρσι μησὶν ἴσος. Μέμνηται δὲ ϗ Ἡρόδοτος τῆς περιτομῆς τῶν
Αἰγυπτίων γράφων τάδε· "... τά τε αἰδοῖα περιτάμνονται καθαριότητος εἵνεκα· προτιμῶντες
καθαροὶ εἶναι ἢ εὐπρεπέστεροι". (β'. § 37). Μετὰ δὲ τὴν περιτομὴν λούειν εἰώθασι τὰ περιτμη-
θέντα ὕδατι ψυχρῷ καθαριότητος ἕνεκα. Τὸ δὲ λούεσθαι τοὺς Αἰγυπτίους ὕδατι ψυχρῷ ἦν
σύνηθες, καὶ μάρτυς σὺν ἄλλοις καὶ Ἡρόδοτος αὐτὸς γράφων ὧδε· "Λοῦνται δὲ δὶς τῆς ἡμέρης
ἑκάστης ψυχρῷ καὶ δὶς ἑκάστης νυκτός". (β'. § 37).

Εἰκοστόν, ὡς τῇ ὑστεραίᾳ τῆς περιτομῆς ἔδει τὸν πατέρα τοῦ καθιερωμένου βρέφους θῦσαι
τῷ Ἄμμωνι ταῦρον περὶ ἡλίου ἀνατολὰς κατὰ τὸν νόμον ἐνώπιον μάλιστα τῶν οἰκείων αὐτοῦ· τὸν
δὲ πάτρων προσενεγκεῖν δεκάτην τῷ ἀρχιερεῖ· ὁ δὲ ἐκ μητρὸς πάππος τοῦ παιδὸς μόσχον θῦσαι
τῷ Ἡφαίστῳ καὶ τοῖς συνναίοις διὰ λόγον ἱερόν.

Εἰκοστὸν πρῶτον, ὡς ἔδει μετὰ τὰς θυσίας ταύτας (ἃς περ ἰδίᾳ προσηγόρευον τὴν μὲν πρώτην Ῥαββά, ἤτοι ἱλαστήρια, τὴν δὲ δευτέραν Χαιφά, ἤγουν καθαρτήρια) βληθῆναι τὸν παῖδα εἰς ὕδωρ ὑπὸ τοῦ ἀρχιερέως καὶ καθαρθῆναι ταῖν χαιροῖν ἐκείνου· μετὰ δὲ περιβληθῆναι αὐτὸν ἐσθῆτι καθαρᾷ ὑπὸ τοῦ ἐκ πατρὸς πάππου αὐτοῦ, ἢ τῇ μητρὶ παραδοθῆναι ὑπὸ τοῦ ἀρχιερέως. Εἶτα δέ, ἔδει τὸν παῖδα καὶ σὺν αὐτῷ πάντας τοὺς παρόντας ἁγνισθῆναι θυμιάμασιν ὑπὸ τριῶν ἱερέων, καθὰ φησιν ὁ Σάσυχις, ἐν τῷ ἐξέρχεσθαι αὐτοὺς τοῦ ἱεροῦ· ταῦτα πάντα ἐστὶ σχεδὸν τὰ αὐτὰ πρὸς τὰ τῶν ἐν τῇ Ἀσίᾳ ἐπικρατοῦντα παρὰ τοῖς χριστιανοῖς περὶ βαπτίσματος νόμιμα.

Εἰκοστὸν δεύτερον, ὡς ἔδει τὸν ἀρχιερέα καὶ τοὺς ἱερεῖς ἅμα τε τοῖς οἰκείοις τοῦ παιδὸς καὶ τοῖς παροῦσιν ᾄδειν πάντας ἐν τῷ ἀπέρχεσθαι εἰς τὴν οἰκίαν τῶν τοκέων τὸν ὕμνον Μεχών, ἤτοι τὸν εὐχαριστήριον, ἐν μουσικοῖς ὀργάνοις. Μετὰ δὲ τὸν ὕμνον κατακλιθῆναι περὶ τὴν ἡτοιμασμένην ὑπὸ τῶν γεννητόρων τράπεζαν.

Εἰκοστὸν τρίτον, ὡς ἔδει τὸν πατέρα τοῦ παιδὸς μετὰ τὸ ἀριστῆσαι λαβεῖν εὐθὺς σορόν τινα νεκροῦ ξεντέχνως ἐσκευασμένον καὶ περιφέρειν αὐτὴν ἑπτάκις κυκλόθεν τῆς τραπέζης, καὶ δεικνῦναι πᾶσι καὶ λέγειν τὰ προειρημένα. Καὶ ταῦτα πάντα ἐποίουν ὅπως οἱ συμπόται σωφρονῶσιν ἀεὶ τὴν τοῦ θανάτου ὥραν ἀναμιμνησκόμενοι. Γράφει δὲ καὶ Ἡρόδοτος περὶ τοῦ ἔθους τούτου τάδε· "Ἐν δὲ τῇσι συνουσίῃσι τοῖσι εὐδαίμοσι αὐτέων ἐπεὰν ἀπὸ δείπνου γένωνται, περιφέρει ἀνὴρ νεκρὸν ἐν σορῷ ξύλινον πεποιημένον, μεμιμημένον ἐς τὰ μάλιστα καὶ γραφῇ καὶ ἔργῳ, μέγαθος ὅσον τε πάντῃ πηχυαῖον ἢ δίπηχυ· δεικνὺς δὲ ἑκάστῳ τῶν συμποτέων, λέγει· 'Ἐς τοῦτον ὁρέων πῖνέ τε καὶ τέρπευ· ἔσεαι γὰρ ἀποθανὼν τοιοῦτος', ταῦτα μὲν παρὰ τὰ συμπόσια ποιεῦσι". (Β΄. § 78).

Εἰκοστὸν τέταρτον, ὡς ἔδει τὴν θλιβερὰν ταύτην σκηνὴν διαδέξασθαι χορὸν ἀκμαζόντων νέων ἐν τάξει χορευόντων ὑπὸ ψιθύρᾳ καὶ γιγγράλῳ. Μετὰ δὲ τὸν χορὸν ἔδει τοὺς χορευτὰς μνησθῆναι Μανέρωτος υἱοῦ Μαλκάνδρου τὰ τῆς πάθης ἐκείνου διεξερχομένους σὺν κοπετῷ πολλῷ· Εἶτα δὲ καὶ τὸν ἀπὸ τοῦ ὀνόματος τοῦ παιδὸς ὕμνον Μανέρωτα ᾄδειν πενθήμως ἐπὰν πάντα τὰ ὑπὸ τοῦ νόμου τεταγμένα, καὶ τὰ ὑπὸ τῆς συνηθείας καθιερωμένα πέρας εἰλήφεσαν. Συνήθως δὲ ἐψάλλετο ὁ Μανέρων ὅτε οἱ ἱερεῖς ἀνιστάμενοι ἔλεγον: "Ῥαενὶ βεοῦ, θάχυ ῥαμμὰ ἀάφα 'Ιουδεχὼ βρέχθς δὲρ ἀρά", ὅπερ ἑρμηνεύεται ὧδε· "καιρὸς ἤδη τοῦ ἀπελθεῖν ἡμᾶς ἐντεῦθεν καὶ παρασκευασθῆναι εἰς ὕπνον θεοῖς εὐχαριστοῦντες". Περὶ δὲ τοῦ ὕμνου τούτου φησὶν Ἡρόδοτος τάδε· "Πατρίοισι δὲ χρεώμενοι νόμοισι, ἄλλον οὐδένα ἐπικτέωνται· τοῖσι ἄλλα τε ἐπάξια ἐστὶ νόμιμα, καὶ δὴ καὶ ἄεισμα ἕν ἐστι, Λῖνος, ὅσπερ ἔν τε Φοινίκῃ ἀοίδιμός ἐστι καὶ ἐν Κύπρῳ, καὶ ἄλλῃ· κατὰ μέντοι ἔθνεα οὔνομα ἔχει. συμφέρεται δὲ ὡυτὸς εἶναι τὸν οἱ Ἕλληνες Λῖνον ὀνομάζοντες ἀείδουσι· ὥστε πολλὰ μὲν καὶ ἄλλα ἀποθωμάζειν με τῶν περὶ Αἴγυπτον· φαίνονται δὲ ἀείκοτε τοῦτον ἀείδοντες. Ἔστι δὲ Αἰγυπτιστὶ ὁ Λῖνος καλεύμενος Μανέρως. Ἔφασαν δέ μιν Αἰγύπτιοι τοῦ πρώτου βασιλεύσαντος Αἰγύπτου παῖδα μουνογενέα γενέσθαι· ἀποθανόντα δ' αὐτὸν ἄνωρον, θρήνοισι τούτοισι ὑπ' Αἰγυπτίων τιμηθῆναι· καὶ ἀοιδήν τε ταύτην πρώτην καὶ μούνην σφίσι γενέσθαι". (Β΄. § 79). Καὶ ταῦτα μὲν τὰ τοῦ Ἡροδότου οἱ δὲ Πλούταρχος καὶ Οὐράνιος καὶ Ὧρος καὶ ἄλλοι παραπλησίως τῷ Ἡροδότῳ καὶ ἐκτενέστερον τὰ τούτου διηγοῦνται, ἃ καὶ ἀφίημι χάριν συντομίας.

Εἰκοστὸν πέμπτον, ὡς ἔδει τὸν παῖδα τρέφεσθαι γάλακτι μητρικῷ ἐπὶ ἐνιαυτοὺς πέντε, ἤτοι ἓν ἔτος καθ' ἡμᾶς καὶ ἡμέρας τριάκοντα· μετὰ δὲ ταῦτα ἔδει αὐτὸν γεύσασθαι τροφῆς ἱερᾶς, ἣν ἂν προσείνεγκεν αὐτῷ συνήθως ὁ θύτης ἐκ τῶν καθιερωμένων τοῖς θεοῖς σφαγίων κατὰ τὸν νόμον, ὅπως τοῖς θεοῖς νηπιόθεν οἰκειωθείη.

Εἰκοστὸν ἕκτον, ὡς ἔδει τὸν πατέρα τοῦ καθιερωμένου παιδὸς προσάγειν εἰς θυσίαν ταῦρον τῷ θεῷ Ἄμμωνι ὑπὸ σάλπιγγι ἱερᾷ εὐθὺς ὡς τὸ παιδίον τροφῆς μετεσχήκοι ἱερᾶς.

Εἰκοστὸν ἕβδομον, ὡς ἔδει τὸν τοῦ χριστηριασθέντος ἀρχιερατεῦσαι οἵῳ δήποτε θεῷ παιδὸς πάππον τὸν ἐκ πατρός, ἤτινα ἕτερον τῶν οἰκείων αὐτοῦ, εἴπερ ὁ πάππος τεθνηκὼς ὢν ἐτύγχανε, θῦσαι μόσχον τῷ τρισμεγίστῳ Ἑρμῇ σὺν εὐφήμῳ βοῇ, καὶ σφραγισθῆναι τὴν κεφαλὴν τοῦ παιδὸς σφραγίδι ἱερᾷ, ἤτοι τεθῆναι τὴν χεῖρα τοῦ ἀρχιερέως ἐπὶ τῆς κορυφῆς αὐτοῦ, καὶ σχηματισθῆναι τῇ χειρὶ αὐτοῦ τὸ ὄνομα Φθᾶ, ὥσπερ καὶ τὴν σήμερον παρ' ἡμῖν ἡ διὰ χειρὸς εὐλογία τῶν ἱερέων ἡμῶν ἐπικρατεῖ. Ἐλάμβανε δὲ τὴν εὐλογίαν ὁ παῖς ἐνώπιον τοῦ θεοῦ ἑστηκὼς ἐν λευκοῖς ἱματίοις περιβεβλημένος. Μετὰ δὲ τὴν εὐλογίαν ἔδει τὸν παῖδα ἀσπασθῆναι εὐθὺς φιλήματι τὴν παρακειμένην τῷ θεῷ ἀεὶ χρυσόπαστον βίβλον. Ἀπὸ δὲ τῆς ἡμέρας ἐκείνης ὤφειλε οἰκουρεῖν καὶ μελετᾶν τὰ γεγραμμένα, διδασκόμενος πάντα ὑπὸ τοῦ πατρὸς αὐτοῦ, εἰ ἦν ἱερεύς, εἰ δὲ μή, ὑφ' ἑνὸς τῶν ἐπὶ τούτῳ τεταγμένων ἱερέων. Ἡ δὲ βίβλος αὕτη διῃρεῖτο εἰς μέρη πέντε, ἅπερ ἐπεγράφοντο οὕτως· Ὠδός, Ὡροσκόπος, Στολιστής, Προφήτης, Παστοφόροι. Ταῦτα δὲ πάντα, πλὴν τῶν παστοφόρων ἐχρῆν διὰ στόματος ἔχειν τὸν ἱεροθησόμενον. Λέγει δὲ περὶ τούτου καὶ Κλήμης ὁ Ἀλεξανδρεὺς ἐν τῇ ἕκτῃ τῶν Στρωματέων βίβλῳ τάδε: "Μετίασι γὰρ οἰκείαν τινὰ φιλοσοφίαν Αἰγύπτιοι. Αὐτίκα τοῦτο ἐμφαίνει μάλιστα ἡ ἱεροπρεπὴς αὐτῶν θρησκεία· πρῶτος μὲν γὰρ προέρχεται ὁ Ὠδός, ἕν τι τῶν τῆς μουσικῆς ἐπιφερόμενος συμβόλων. τοῦτόν, φασι, δύω βίβλους ἀνειληφέναι δεῖν ἐκ τῶν Ἑρμοῦ· ὧν θάτερον μὲν ὕμνους περιέχει θεῶν, ἐκλογισμὸν δὲ βασιλικοῦ βίου τὸ δεύτερον.

η΄

Μετὰ δὲ τὸν Ὠδὸν ὁ Ὡροσκόπος, ὡρολόγιόν τε μετὰ χεῖρα καὶ φοίνικα ἀστρολογίας ἔχων σύμβολα, πρόσεισιν· τοῦτον τὰ ἀστρολογούμενα τῶν Ἑρμοῦ βιβλίων, τέσσαρα ὄντα τὸν ἀριθμόν, ἀεὶ διὰ στόματος ἔχειν χρή· ὧν τὸ μέν ἐστι περὶ τοῦ διακόσμου τῶν ἀπλανῶν φαινομένων ἄστρων, τὸ δὲ περὶ τῶν συνόδων καὶ φωτισμῶν ἡλίου καὶ σελήνης, τὸ δὲ λοιπὸν περὶ τῶν [struck through] ἀνατολῶν. Ἑξῆς δὲ ὁ ἱερογραμματεὺς προέρχεται, ἔχων πτερὰ ἐπὶ τῆς κεφαλῆς βιβλίον τε ἐν χερσὶ καὶ κανόνα, ἐν ᾧ τό τε γραφικὸν μέλαν καὶ σχοῖνος, ᾗ γράφουσι. Τοῦτον τά τε ἱερογλυφικὰ καλούμενα, περί τε τῆς κοσμογραφίας καὶ γεωγραφίας, τῆς τάξεως τοῦ ἡλίου καὶ τῆς σελήνης καὶ περὶ τῶν πέντε πλανωμένων, χωρογραφίαν τε τῆς Αἰγύπτου καὶ τῆς τοῦ Νείλου διαγραφῆς σκευῆς τῶν ἱερῶν καὶ τῶν ἀφιερωμένων αὐτοῖς χωρίων, περί τε μέτρων καὶ τῶν ἐν τοῖς ἱεροῖς χρησίμων εἰδέναι χρή. Ἔπειτα ὁ Στολιστὴς τοῖς προειρημένοις ἕπεται ἔχων τόν τε τῆς δικαιοσύνης πῆχυν, καὶ τὸ σπονδεῖον· οὗτος τὰ παιδευτικὰ πάντα καὶ μοσχοσφαγιστικὰ καλούμενα· δέκα δέ ἐστι τὰ εἰς τὴν τιμὴν ἀνήκοντα τῶν παρ' αὐτοῖς θεῶν, καὶ τὴν Αἰγυπτίαν εὐσέβειαν παρέχοντα. οἷον περὶ θυμάτων, ἀπαρχῶν, ὕμνων, εὐχῶν, πομπῶν, ἑορτῶν, καὶ τῶν τούτοις ὁμοίων. Ἐπὶ πᾶσι δὲ ὁ προφήτης ἔξεισι, προφανὲς τὸ ὑδρεῖον ἐγκεκολπισμένος· ᾧ ἕπονται οἱ τὴν ἔκπεμψιν τῶν ἄρτων βαστάζοντες, οὗτος, ὡς ἂν προστάτης τοῦ ἱεροῦ, τὰ ἱερατικὰ καλούμενα δέκα βιβλία ἐκμανθάνει. Περιέχει δὲ περί τε νόμων καὶ θεῶν, καὶ τῆς ὅλης παιδείας τῶν ἱερέων· ὁ γάρ τοι προφήτης παρὰ τοῖς Αἰγυπτίοις, καὶ τῆς διανομῆς τῶν προσόδων ἐπιστάτης ἐστίν. Δύο μὲν οὖν καὶ τεσσαράκοντα αἱ πάνυ ἀναγκαῖαι τῷ Ἑρμῇ γεγόνασι βίβλοι· ὧν τὰς μὲν λϛ΄, τὴν πᾶσαν Αἰγυπτίων περιεχούσας φιλοσοφίαν, οἱ προειρημένοι ἐκμανθάνουσι· τὰς δὲ λοιπὰς ἕξ, οἱ παστοφόροι, ἰατρικὰς οὔσας, περί τε τῆς τοῦ σώματος κατασκευῆς, καὶ περὶ νόσων, καὶ περὶ ὀργάνων, καὶ φαρμάκων, καὶ περὶ ὀφθαλμῶν, καὶ τὸ τελευταῖον περὶ τῶν γυναικείων. Καὶ τὰ μὲν Αἰγυπτίων ὡς ἐν βραχεῖ φάναι τοσαῦτα". (Βιβλ. ϛ΄. 268).

Εἰκοστὸν ὄγδοον, ὡς ἐγκρατὴς τῆς ἱερᾶς βίβλου ὁ ἱερωθησόμενος ἐγίγνετο παῖς, ἔδει τὸν ἀρχιερέα τοῦ πολιούχου θεοῦ χρῖσαι αὐτὸν ἱερογραμματέα, μετὰ δέ, θανόντος τοῦ πατρὸς τοῦ χρισθέντος, διαδεχθῆναι αὐτὸν τὴν πατρικὴν ἱερατείαν καὶ θῦσαι τῷ θεῷ ὑπὲρ τοῦ ἀποθανόντος καὶ γράψαι αὐτὸν ἐπὶ μὲν τοῦ σαρκοφάγου αὐτοῦ τὴν πνευματικὴν αὐτοῦ δίαιταν πᾶσαν, ἐπὶ δὲ τῆς ἐπιτυμβίου πλακὸς πάντα τὰ πεπραγμένα ὑπ' ἐκείνου ἐν τῷ βίῳ.

Εἰκοστὸν ἔννατον, ὡς μετὰ τὴν τελευτὴν τοῦ ἀρχιερέως οἵας δήποτε πόλεως Αἰγυπτιακῆς ἔδει τὴν πόλιν ἐκείνην κλαῦσαι τὸν νέκυν τοῦ ἀρχιερέως ὡς διεδίδετο διὰ κήρυκος ὁ θάνατος αὐτοῦ· τοὺς δὲ ἱερεῖς πενθεῖν τε καὶ νηστεύειν τρεῖς ὅλας ἡμέρας, καθάπερ καὶ πάντας τοὺς κατοίκους τῆς πόλεως ἐκείνης.

Τριακοστόν, ὡς τὴν τρίτην τοῦ πένθους ἡμέραν περὶ λύχνων ἁφὰς ἔδει καθαρθῆναι τοὺς κατοίκους ὕδατι· τῇ δὲ ὑστεραίᾳ θῦσαι τῷ πολιούχῳ. Εἶτα δὲ κυκλωσαμένους τὸν σηκὸν τοῦ θεοῦ γονυπετῶς μετὰ τοῦ πλήθους ἐδέοντο τοῦ θεοῦ ἀναδεῖξαι αὐτοῖς ἕτερον ἀρχιερέα.

Τριακοστὸν πρῶτον, ὡς τοῦ ἀρχιερέως σημανθέντος διὰ σημεί[illegible] κατασπληκτικῶν, ἅπερ, ἴσως, παρὰ μόνῳ τῷ ἀρχιερεῖ ἑκάστου ναοῦ ἦν γνωστά, καὶ ἀναγορευομένου ἔδει αὐτὸν στῆναι ἐπὶ τοὺς πόδας αὐτοῦ κατὰ πρόσωπον τοῦ πολιούχου θεοῦ Ἄμμωνος ἤ τινος ἑτέρου. Τοὺς δὲ ἱερεῖς προσερχομένους αὐτῷ καὶ προσκυνεῖν ἅμα δὲ καὶ τὸν λαόν.

Τριακοστὸν δεύτερον, ὡς μετὰ τὴν προσκύνησιν ἔδει τὸν ἀρχιερέα τοῦ Ἡφαίστου ἐξελθεῖν τῶν ἀδύτων, ἐν οἷς εἴωθε μένειν ἐν ὥρᾳ τοιαύτης τελετῆς, ἠμφιεσμένον τὴν στολὴν αὐτοῦ, καὶ φέροντα ἐπὶ τοῦ μετώπου τὸ σῆμα τοῦ θεοῦ Ἄμμωνος, ὅπερ ἐστὶ τρίγωνόν τι εἰσόπλευρον ἐκ χρυσοῦ πεποιημένον, καὶ κατὰ μέσον ἔχον ἀδάμαντα μέγαν στίλβοντα δίκην ὀφθαλμοῦ, καὶ κέρατα δύω κριοῦ παρεμφερεῖ, ἐκ χρυσοῦ καὶ πολυτίμων λίθων πεποιημένα καὶ ταῦτα ὄντα. Ἑκατέρωθεν δὲ τῶν γωνιῶν τοῦ τριγώνου ἐν μὲν τῇ δεξιᾷ κεφαλὴ νεανίσκου ἐστίν, ἐν δὲ τῇ ἀριστερᾷ πρεσβύτου· ἐπὶ δὲ τοῦ ἄκρου τοῦ τριγώνου κύκλος χρυσοῦς ἐστιν ἐν ᾧ ὀφθαλμοὶ δύω καὶ πτέρυγες ἑκατέρωθεν. Τὸ δὲ ἐμβαδὸν τοῦ τριγώνου κύκλοι χρυσοῖ ἐστιν, ἐν ᾧ ὀφθαλμοὶ δύω καὶ πτέρυγες ἑκατέρωθεν. Τὸ δ' ἐμβαδὸν τοῦ τριγώνου ἐν μέρει μέν, περὶ τὰς ἄκρας κυανοῦν ἐστὶ καὶ φωτοειδές, τὸ δὲ κέντρον πυρῶδες ὅλως, αἱ δὲ πλευραὶ τοῦ τριγώνου πᾶσαι ἀκτινοειδεῖς εἰσίν. Οὕτως εἶχε τὸ σῆμα τοῦ θεοῦ Ἄμμωνος ὡς ἱστορεῖ Ὀνχέρις ὁ Μεμφίτης καὶ Ὧρος ὁ Νειλοπολίτης καὶ ἄλλοι σὺν τούτοις. Τοῦτον οὖν οὕτως ἐξερχόμενον σὺν ἑπτὰ ἑτέροις ἀρχιερεῦσιν, ἔδει ἀναβῆναι ἐπὶ ἕδραν μετέωρον ἐν τῷ μέσῳ τοῦ σηκοῦ ἱδρυμένην, καὶ κελεῦσαι τοὺς περὶ αὐτὸν ἱερεῖς αἶραι τὴν ἐσθῆτα τὴν ἱερὰν (τὴν ἐκ τῶν ἀδύτων, μικρὸν πρὸ τῆς τοῦ ἀρχιερέως κομισθεῖσαν καὶ τεθεῖσαν ἐνώπιον τοῦ θεοῦ) καὶ ἐνδῦσαι τὸν σημανθέντα. Ἐν δὲ τῷ ἐνδύειν ἔδει τοὺς λοιποὺς τῶν ἱερέων ᾄδειν τὸν ὕμνον τοῦ θεοῦ ὑπὸ σάλπιγγι κερατίνῃ.


Τριακοστὸν τρίτον, ὡς μετὰ τὴν ἀναγόρευσιν τοῦ ἀρχιερέως ἔδει τοὺς πολίτας θῦσαι τῇ ἡμέρᾳ ἐκείνῃ ἑκατόμβην· μετὰ δὲ ταῦτα τραπῆναι αὐτοὺς εἰς εὐωχίας· περὶ δὲ ἀλεκτρυόνων ᾠδὰς ὤφειλον παύσασθαι τῆς εὐωχίας θύσαντας Ἄρει τῷ θεῷ μόσχον τὴν ταχίστην οἴκαδε κομιζομένους καὶ ὑμνοῦντας τὸν θεὸν ἐν ὀργάνοις. Εἴθιστο γὰρ παρ' Αἰγυπτίοις ποιεῖν τὰς εὐωχίας αὐτῶν περὶ τὰ ἱερά.

Τριακοστὸν τέταρτον, ὡς τὴν ὑστεραίαν τῆς ἀναγορεύσεως ἔδει τοὺς ἱερεῖς τοῦ τε Ἄμμωνος καὶ Ἡφαίστου ἰέναι εἰς τὸ ἱερὸν τοῦ πολιούχου θεοῦ προπορευομένου ἀείποτε τούτων τοῦ ἄρτι ἀνηγορευμένου ἀρχιερέως καὶ προσενεγκεῖν δεκάτην τῷ θεῷ κατὰ τὸν νόμον.

Τρισέβαστέ μοι κηδεμών,

Ὁ καλὸς κἀγαθὸς Ἀνδρόνικ(ος) οὐκ οἶδα τί παθών, ἀνέβαλε τὴν εἰς Ὀδησσὸν μετά-
βασίν του· δι' ὃ καὶ αἱ ἐπιστολαί μου πᾶσαι ἀποστέλλονταί σοι σήμερον διὰ τοῦ ταχυδρο-
μείου, λέγων σοι ἅμα, ὅτι ἀσθενήσας πρὸ μικροῦ καὶ μὴ δυνάμενος ἐξακολουθῆσαι τὰς
ἐθνικὰς ἐργασίας μου, ἑρμηνεύω σοι κ(αὶ) ἕτερον ἱερογλυφικὸν λείψανον, ἐξ ὧν μάλιστα
ἐν τῇ δωδεκάτῃ Ἰουλίου ἐπιστολῇ σου ἐσημείωσάς μοι.

Ἀπέδειξά σοι πολλάκις τὴν τοῦ Σαμπολλιῶνος κ(αὶ) Υἰόγκου προφανεστάτην ἀγυρτείαν,
οὐχ ἧττον δὲ καὶ τῶν κούφων αὐτῶν ὀπαδῶν, τὸ δὲ ἐν τῷ ἐθνικῷ μουσείῳ τῶν Παρισίων Αἰγυ-
πτιακὸν ἄγαλμα τόδε ἐστὶ ἕτερον μαρτύριον τῆς ψευδοσοφίας τῶν λαοπλάνων τού-
των· καὶ γὰρ φησὶ (καθὰ μοὶ γράφεις) ὁ τούτου ἑρμηνεὺς εἶναι τὸν εἰκονιζόμενον ἱερέα,
ὃν καὶ Χορὲβ (Horheu) ἐβάπτισεν, ἤτοι πορνοβοσκὸν (πορνοβοσκὸν γὰρ τὸ
Χόρεβ σημαίνει ἑρμη- νευόμενον). Κατέγραψε δὲ αὐτὸν καὶ ἐν τάξει τινί, ἣν
καὶ Χέμπ προση- γόρευσεν, οἷον τάξιν τῶν ἀποβεβλημένων· οὕτω γὰρ
σημαίνει τὸ ὄνομα τοῦτο κατὰ γλῶσσαν ἱεράν, ἣν καὶ οὐδαμῶς γινώσκει.
ἔτι δὲ εἶπεν ἡμῖν καὶ υἱὸν εἶναι αὐτὸν τῆς Τάσνεχτ' (ἐξ ἧς ἴσως κ(αὶ) ὁ ἐκ
Γερμανίας Ταουσνι- χτς, ὁ ἐκδοὺς τοὺς Ἕλληνας συγγραφεῖς, κατάγεται). Ἐπει-
τα δὲ περιγράφων τὴν θέσιν καὶ τέχνην τοῦ ἀγάλματος ἀνάγει αὐτὸ εἰς
τὴν εἰκοστὴν ἕκτην δυναστείαν, καὶ οὐδὲν πλέον. Ἐκ δὲ τοῦ ὅλου τῆς γαλ-
λικῆς ἐπιγραφῆς ἀρ- κούντως τὰ κατὰ τὸν ἄνδρα πληροφορούμεθα, ὅτι δηλο-
νότι πορνοβοσκὸς ὢν καὶ ἔφορος τῶν ἀνακτορικῶν χαμαιτυπείων (ἀμφότερα
γὰρ ὑπονοεῖται) ἀνδρι- άντι ἐτιμήθη διὰ τὴν ἐπὶ τὸ ἀκριβές, ἴσως, ἐξάσκησιν
οὗ μετήρχετο ἐπαγγέλ- ματος· πρὸς δὲ κ(αὶ) ὅτι ὁ Γερμανὸς Ταουσνιχτς ἀπὸ Αἰγύ-
πτου ἔχει τὸ γένος· ἐπὶ πλέον δὲ καὶ ὅτι ἐκ τοῦ εἴδους τῆς γραφῆς κ(αὶ)
τῆς συντάξεως τῶν γραμ- μάτων ὁρίζει καὶ τὴν ἐποχήν, καθ' ἣν ἐποιήθη τὸ ἄγαλ-
μα, ἐν ᾧ ἑτέρωθεν οὐδὲν ἀνέγνω γράμμα. Καὶ ταῦτα διὰ τὸ ἀδύνατον
θηρᾶν ἐπεχείρισε δι' ὃ καὶ ἀρχαιότερα διφθέρας λέγει, ὡς φησιν ἡ πα-
ροιμία· ἀλλ' ἄφες αὐ- τοὺς αἰθέρα κνήμην ἐρέσσειν, καὶ ἄκουε τί τὰ σύμ-
βολα λέγει τοῦ ἀνδριάντος.



„Ἐπαρ- γανωμένος ἔτι ὤν, τῷ μὲν σώματι ἐκρατύν-
θην, τὴν δὲ διάνοιαν ἴσος τοῖς σοφωτέροις ἐγενόμην, θεοῦ ἐπιφανέντος νύκτωρ, καὶ θλίψαντός
μοι τότε μέτωπον, τὸν θώρακα κ(αὶ) τὴν ὀσφῦν, ἄκροις δακτύλοις κ(αὶ) Ὡραμὼ (ἡλιόκλητον) καλέσαν-
τός με· ἄρτι δὲ ἡβάσκων ἦλθον τῷ ἀρχιερεῖ τῆς Σάεως, κ(αὶ) στὰς κατὰ μέτωπον αὐτοῦ, ἤκουσα· χαῖ-
ρε, ὦ Ὡραμώ, Ἐγὼ μὲν ἤδη ἄπαις ἀποθανοῦμαι κατὰ τὸ εἱμαρμένον, σὺ δὲ ἄρξεις τοῦ λαοῦ
μου· οὕτω γὰρ εἶδον ἐν ὁράματι· δι' ὃ λάβε τὰ σήμαντρα τάδε τῆς ἱερωσύνης, κ(αὶ) ἄπελθε τοῦ θῦσαι,
κ(αὶ) λαβὼν αὐτὰ ἀπῆλθον αὐθωρὶ σὺν τοῖς ἑπτακαίδεκα τῶν ἱερέων, τοῦ ποιῆσαι τὸ προσταχθέν, ὅτε
δὲ ᾔειμεν παρὰ τῷ σηκῷ, κ(αὶ) τὸ καταπέτασμα ἤρθη τῆς θεοῦ, τοῦ μυσταγωγοῦ ἄραντος αὐτό
πρόσειμι τῇ θεῷ καθαρῷ νῷ, κ(αὶ) τἀγαθὰ αἰτοῦμαι παρ' αὐτῆς· ἐν δὲ προσεύχεσθαί με, διῆκε λόγιον
ἐν ἀκαρεῖ τῆς θεοῦ εἰς πᾶσαν τὴν πόλιν, κ(αὶ) ἰδοὺ ἅπας ὁ λαὸς εἰς προσκύνησίν μου· θύσας δὲ τῇ
θεῷ χαριστηρίους, θυσίαν τριττύν, καὶ τὰ πλήθη λόγοις εὐχαριστήσας ἐπανῆλθον σὺν τοῖς ἱερεῦσι
κ(αὶ) τοῖς ἑπτὰ τῶν ἀρχόντων πρὸς τὸν ἤδη ἐκπνέοντα Ἀμενεμώ, ἀρχιθύτην τῆς θεοῦ, καὶ ἀνέστη ὁ κατα-
κείμενος ἐπὶ τῇ παρουσίᾳ μου, καὶ περιεπτύξατό με, καὶ εἶπε· τήρει τὸ λόγιον τῆς θεοῦ, καὶ
ἔσῃ προσκυνούμενος καὶ θαυμαζόμενος ὑπὸ πάντων· καὶ ταῦτα εἰπὼν κατέπεσε παραχρῆμα
ὁ γηραιὸς ἄπνους, κ(αὶ) ἀστραπὴ διάπυρος ἐπέσχε τὰ ὄμματα ἡμῶν, κ(αὶ) θρῆνος κ(αὶ) κοπετὸς ἐγένετο μέγας,
ἐπὶ τῷ θανάτῳ τοῦ ἀνδρός. Τρεῖς δὲ ὅλας ἡμέρας τὸν ἄνδρα θρηνήσαντες, κ(αὶ) τελέσαντες τὰς ἐπιταφίους θυ-
σίας ὡς ἔνεστι μεγαλοπρεπῶς, παρέστην τῇ θεοῦ ἐνώπιον, ὑπὸ τῶν χρησμῳδῶν τοῦ λαοῦ ἀχθείς,
καὶ τοῖς ἱερεῦσιν, ὡς ἔθος, στολὴν ἐνδεδυμένος ἀρχιερατικὴν κ(αὶ) χρισθεὶς ἀρχιερεύς, προσάγω θυσίας
τῇ θεῷ ὑπὲρ τοῦ λαοῦ τετράκις τῇ ἡμέρᾳ ἐκείνῃ, ὅσοι καὶ πυλῶνες τοῦ περιβόλου ἦν· καὶ ἐγέ-
νετο εὐκαρπία, καὶ ἐχορτάσθη πᾶσα οἰκία ἐν ἀφθονίᾳ τῶν ἀγαθῶν Ὀσίριδος καὶ Ἴσιδος, καὶ ἦν
δοξαζόμενος παρὰ πάντων ἐν μέσῳ τοῦ λαοῦ μου ἄχρι τελευτῆς".

Καὶ τοσαῦτα περιέχει τὰ σύμβολα περὶ τοῦ ἀνδρὸς ἐκείνου τοῦ ἀρχιερέως Ὡραμώ, τοῦ διαδε-
ξαμένου Ἀμενεμὼ τὸν ἀρχιθύτην Σάεως πόλεως, ἅπερ πολλὰς καὶ λίαν σπουδαίας γνώσεις
περιέχει ἡμῖν, οἷον θεσμοὺς θρησκευτικοὺς τοῦ ἔθνους ἐκείνου ἠθικωτάτους, ἅμα δὲ καὶ
πολιτικοὺς τῇ Αἰγυπτιακῇ μάλιστα πολιτείᾳ σύμφωνα πάντα, καθὰ οἱ ἀρχαῖοι ἱστοροῦσι, καὶ τὸ
χάος τῆς Αἰγυπτιακῆς ἱστορίας κατὰ μέρος ἀναπληροῖ. Καὶ ταῦτα διὰ τῆς ἀληθοῦς ἀναγνώσεως
ταυτοχρόνων διδασκάλων διδασκαλίας. Ἔρρωσο.

ὁ ἀεὶ σὸς

Κ. Σιμωνίδης

Ἐν Ἀλεξανδρείᾳ τῇ λ' Αὐγούστου τοῦ ἔτους
αωνβ'.

Τρισέβαστέ μοι κηδεμών,

Περὶ Νόννου οὐδὲν εἰσέτι ἀνεκάλυψα λόγου ἄξιον πλὴν τοῦ ἑξῆς:
« ΝΟΝΝΟΣ Πλεονίππου ὁ τῶν Διονυσιακῶν ποιητής, θέσει μὲν ἦν Πανοπολίτης,
φύσει δὲ Ἡλιουπολίτης, γεγονὼς κατὰ Κωνσταντῖνον τὸν Μέγαν· διήκουσεν Ἀριστοκλέους
Διδύμου τοῦ Ἀλεξανδρέως, ὃν καὶ διεδέξατο. Ἔγραψε δὲ σὺν τοῖς Διονυσιακοῖς καὶ περὶ Αἰγυ-
πτίων θεῶν ἐν βιβλίοις δυωκαίδεκα καὶ ὕμνους εἰς Ἀφροδίτην τεσσαράκοντα μέτρῳ Σαπφι-
κῷ· μετὰ δὲ ταῦτα ὑπὸ Σεραπίωνος ἐπισκόπου τῆς κατ' Αἴγυπτον Θμουΐδος κατηχη-
θείς, καὶ πρὸς Ἀθανάσιον γενόμενος τὸν Ἀλεξανδρείας, καὶ τούτῳ μαθητεύσας μικρὸν
τὸν παλαιὸν ἀπεκδύεται ἄνθρωπον τῷ βαπτίσματι καὶ Πανοπολιτῶν ἱερατεύει ἐπὶ ἔτη
τριάκοντα πρὸς τοῖς ἑπτά, καὶ τὸ κατὰ Ἰωάννην Εὐαγγέλιον ἐπικῶς παραφράζει μέ-
τρῳ, καὶ Ἡσαΐαν καὶ Ἱερεμίαν τοὺς προφήτας. Ἀσθενείᾳ δὲ καμὼν ἐτελεύτησεν ἐν
τῷ τεσσαρασκαιδεκάτῳ ἔτει τῆς βασιλείας Θεοδοσίου τοῦ νεωτέρου βιοὺς ὅλα ἔτη ὀγδοή-
κοντα πρὸς τοῖς δύω. Ἐγέννοντο δὲ καὶ ἄλλοι Νόννοι δύω· πρῶτος ὁ Φαλκίδος Αἰγύ-
πτιος τὸ γένος καὶ οὗτος ἐξ Ἀρύπης πόλεως μικρὸν τοῖς χρόνοις πρεσβύτερος τοῦ
Πανοπολίτου, ὃς καὶ τὰ Αἰγυπτίων ἐν ἑπτὰ ἐκωμῴδησε βίβλοις ἐμμέτρῳ λόγῳ "γελοῖα"
ἐπιγράψας αὐτά. Δεύτερος ὁ Ἀρώλεως Ἀνυσίτης τὸ γένος τοὐπίκλην φιλόσοφος κ(αὶ)
Ὠριγένει γνώριμος. Ἔγραψε φιλόσοφα καὶ Αἰγυπτίων σοφῶν διατριβάς. Ἐτελεύτα δὲ μι-
κρὸν πρὸ τῆς τοῦ Ὠριγένους τελευτῆς ὑπέργυρως πάνυ.»

Καὶ ταῦτα μὲν φησι Διονύσιος ὁ Μάγνης ὁ Λιβύης μητροπολίτης ἐν τῷ "περὶ ὁμω-
νύμων ποιητῶν καὶ συγγραφέων ἀκανθίσματι", περὶ οὗ καὶ ἄλλοτε ἔγραψά σοι.

Περὶ δὲ τοῦ Θεοπόμπου, οὗ καὶ πολλὰς ἐπιστολὰς ὁ σὸς ἀοίδιμος πατὴρ ἀνεκάλυψεν ἐν
τῇ τοῦ πατριαρχείου τῆς Κωνσταντινουπόλεως βιβλιοθήκῃ, τάδε ὁ αὐτὸς γράφει σοφὸς Διο-
νύσιος: «. . . Ἐγένετο δὲ καὶ ἕβδομος Θεόπομπος, ὁ Ἐμπεδοκλέους καὶ Ἑρμίππης,
ὃς τὰ μὲν πρὸς πατρὸς ἐκ Θηβῶν τῆς Αἰγύπτου ἔσχε, τὰ δὲ πρὸς μητρὸς ἐκ Μέμφεως.
Ἐγεννήθη δὲ οὗτος ἐν Μέμφει τῷ ὀγδόῳ ἔτει τῆς τοῦ Διοκλητιανοῦ καὶ Μαξιμιανοῦ βα-
σιλείας, καὶ ἐπιζήσας ἔτη ἑπτὰ καὶ ὀγδοήκοντα, κατέστρεψε τὸν βίον ἐπὶ τῷ τρίτῳ ἔτει τῆς
τοῦ Θεοδοσίου τοῦ μεγάλου ἐνδόξου βασιλείας. Τούτου φέρονται ἐπιστολαὶ πολλαί, πρὸς
Θεόπομπον τὸν ἑαυτοῦ υἱὸν ἀφελεῖ γεγραμμέναι φράσει, καὶ πολλὰ περὶ Αἰγυπτίων
καὶ τῶν ἱερῶν αὐτῶν γραμμάτων πραγματευόμεναι, ἔτι δὲ καὶ περὶ ἰαματικῆς δυνά-
μεως διαφόρων βοτανῶν καὶ ἑτέρων τοιούτων. Ἦν δὲ ὁ ἀνὴρ οὗτος, καθὰ Καλλίμαχός
φησι, πενέστατος· διὸ καὶ ἀπορῶν πολλάκις χρημάτων πρὸς ἀγορὰν παπύρων ἢ διφθε-
ρῶν, ἔγραφεν ἐπὶ θραυσμάτων κεραμικῶν ἀγγείων. Εὐπορίσας δέ ποτε ἤθροισε πα-
πύρων πλῆθος, καὶ τὴν Αἰγυπτιακὴν ἱερὰν ἱστορίαν ἐν τριάκοντα συνετάξατο βίβλοις,
ἣ καὶ πολλοῖς παρέχει μέγα βοήθημα πρὸς τὴν ἀληθῆ κατάληψιν τῆς Αἰγυπτιακῆς μυθο-
λογίας. Ὄγδοος δὲ καταλέγεται εἶναι ὁ τοῦ ἑβδόμου υἱός, γεννηθεὶς ἐν Ἀλεξανδρείᾳ τῷ
τριακοστῷ ἔτει τῆς τοῦ Κωνσταντίνου τοῦ μεγάλου τρισενδόξου βασιλείας, ὃς πολλὰ καὶ
οὗτος περὶ Αἰγυπτίων καὶ Αἰγύπτου ἔγραψεν, ἰδίως δὲ ἑρμηνευτικὴν βίβλον τῶν
ἱερῶν Αἰγυπτιακῶν γραμμάτων συγγραψάμενος τῇ βοηθείᾳ τοῦ πατρὸς αὐτοῦ, ἐ-
τελεύτησεν ἐν Μέμφει ἑβδομηκοντούτης γενόμενος.»

Καὶ τοσαῦτα μὲν τὰ τοῦ Διονυσίου περί τε τοῦ Θεοπόμπου καὶ τοῦ παιδὸς αὐτοῦ. Ὅτι
δὲ ἦν ἔνδοξος ἀνὴρ οὗτος εἰκάζεται καὶ ἐκ τῶν τριῶν ἑξῆς ἐπιγραφῶν ἀνακαλυφθεισῶν
ἐν Μέμφει ὑπὸ τοῦ γνωστοῦ σοι Νικολάου τοῦ Μελισσηνοῦ. Εἰσὶ δὲ αὗται.

α'.

ΘΕΟΠΟΜΠΕ
ΧΡΗΣΤΕ
ΧΑΙΡΕ

β'.


ΔΗΜΟΦΩΝΜΕ
ΝΕΛΑΟΥΘΜΕΜ
ΦΙΤΗΣΘΕΟΠΟΜ
ΠΩΙΕΜΠΕΔΟΚΛΕ
ΟΥΣΑΝΔΡΙΧΡΗ
ΣΤΩΙΧΑΙΡΕΙΝ

γ'.

ΘΕΟΠΟΜΠΩΙ
ΕΜΠΕΔΟΚΛΕΟΥΣ
ΑΝΔΡΙΚΑΛΩΙΚΑΙ
ΑΓΑΘΩΙΠΑΛΛΑΔΙΟΣ
ΑΠΟΛΛΩΝΙΟΥΤΗΝ
ΣΤΗΛΗΝΤΗΝΔΕΓΕΙΡΕΙ

Ἂν δὲ καὶ αἱ τρεῖς ἀνήκου-
σι τῷ περὶ οὗ ὁ λόγος ἀνδρὶ οὐκ
ἔχω εἰπεῖν τι βέβαιον. Ὅτι δὲ αἱ δύω
τελευταῖαι ἀνήκουσιν αὐτῷ εἰμὶ καὶ μᾶλλον παραβέβαιος.
Ἔτι δὲ οὐκ οἶδα εἴπερ ἐσώθη που (πλὴν τῶν τριάκοντα ἐπιστολῶν
τῶν περὶ βοτανῶν πραγματευομένων καὶ ὑπὸ τοῦ πατρός σου ἀνακαλυφθεισῶν καὶ τῆς ἀκο-
λούθου) τῶν ὑπὸ τοῦ Διονυσίου μνημονευομένων συγγραμμάτων τοῦ Θεοπόμπου. Ὁ δὲ
Μελισσηνός λέγει μοι, ὅτι ἐν τῇ βιβλιοθήκῃ τῆς κατὰ τὴν Παλαιστίνην μονῆς τοῦ ἁγίου Σάββα ἐψη-
λάφησε τινὰ τούτου. Ἐν δὲ τῇ βιβλιοθήκῃ τῆς τοῦ Σιναίου μονῆς ἀνεκάλυψα τήνδε τὴν ἐπιστολὴν

Ἐπιστολὴ Θεοπόμπου Ἐμπεδοκλέους καὶ Ἑρμίππου περὶ ἰαματικῶν δυνάμεων διαφόρων βοτανῶν. Ἐστὶ δὲ γεγραμμένη ἐπὶ παπύρου καὶ ἀνεκαλύφθη



ἐν τῇ τοῦ Σιναίου ὄρους βιβλιοθήκῃ, τῇ καὶ ἐν τῇ ἑλληνικῇ μονῇ οὔσῃ. Ἀνεκαλύφθη ὑπὸ τοῦ Δρος Κ. Σιμωνίδου τῷ ͵αωνβ΄ ἐν μηνὶ Ἀπριλίῳ.

Α΄.

„ Τέκνον Θεόπομπε, Οἶδα ὅτι ὁ τῆς Περσέας
καρπὸς ἐδώδιμός ἐστι καὶ εὐστόμαχος
λίαν, τὰ δὲ φύλλα αὐτῆς αἱμοῤῥαγίας θερα-
πεύει. Τὸ δὲ τῆς Ταφουσίρεως Σερίφιον, ὃ ἕ-
τεροι ἀψίνθιον θαλάσσιον εἰώθασι λέγειν,
φέρει πόαν ἀβροτόνῳ παραπλησίαν, ἣ
συνεψηθεῖσα μετὰ ἐδωδίμων ὀσπρίων
ἕλμινθας κτείνει. Ὁ τοῦ Ἀβροτόνου δὲ
καρπὸς μεθ᾽ οἴνου πινόμενος τοὺς
δηχθέντας ὠφελεῖ· οὐχ ἧττον δὲ βοη-
θεῖ καὶ ταῖς τῶν ὀφθαλμῶν φλεγμο[ναῖς
κυδωνίῳ ἑφθῷ ἢ [ἄ]ρτῳ νεαρῷ κατα-
πλασθείς. Ἡ δὲ Ὕσσωπος ὀδονταλγοῦν-
τας ὠφελεῖ μετὰ ὄξους ἑψηθεῖσα λευ-
κοῦ. Ἰντερινοῦς δὲ, τὸ τῆς ὀριγάνου τῆς
Ἡρακλεωτικῆς ἀφέψημα παρέχει μέγα


Β΄.

ὄφελος. Ὁ δὲ Ἕρπυλος ἥπατος φλεγμονὰς
καθαίρει κ[α]ὶ ἔ[μετο]ν αἵματος μεθ᾽ ὄξους πο-
τισθείς. Τὸ δὲ Κυζικηνὸν Σάμψυχον τοὺς
σκορπιοδήκτας ὠφελεῖ καταπλασσόμ[ε-
νον ἅλοις καὶ ὄξει. Πινόμενον δὲ μετὰ
Νειλώου ζέοντος ὕδατος ὑδρωπικο[ὺς
καὶ δυσουρικοὺς θεραπεύει. ὁ δὲ Ἀττικὸς
μελίλωτος στομάχου ἀλγήματα θεραπεύ-
ει πινόμενος, καὶ κεφαλαλγίας ἐμβρεχ[ό-
μενος σὺν ὄξει καὶ ῥοδίνῳ. Ἡ δὲ Ἄκινος
κοιλιακοὺς ἰᾶται πινομένη, καὶ ἐρυσίπε-
λα ἀφανίζει. Ὁ δὲ τοῦ Σταφυλίνου καρπὸς
ὑδρ[ω]πικοὺς καὶ δυσουρικοὺς θεραπεύει
πινόμενος. Πίνουσι δ᾽ αὐτὸν καὶ οἱ ἄγονοι
χάριν παιδο[ποιΐας]· συντείνει γὰρ πρὸς σύλ-
ληψιν. Ἡ δὲ τού[του ῥί]ζα προστιθεμένη τῷ
καρπῷ τοῦ σταφυλίνου ἐρεθίζει λίαν τὰ
παιδογόνα μόρια, καὶ τὰ ἔμβρια παρωρα

Γ΄.

ἀποβάλλει. Τὸ δὲ Πετραῖον Σύμφυτον πνεύμονας ἀνα-
καθαίρει μελικράτῳ πινόμενον καὶ τὴν αἱμοπτυ-
σίαν, ἅμα δὲ καὶ τοὺς νεφραλγοῦντας μεθ᾽ ὕδατος
πινόμενον. Δυσεντερίαν δ[ὲ] ἵστησι μεθ᾽ οἴνου ἑψη-
θέν. Ἔτι δὲ καὶ ὁ τοῦ Λειμων[ί]ου καρπὸς οὐχ ἧττον
τοὺς δυσεντερικοὺς καὶ κοιλιακοὺς ὠφελεῖ, καὶ
τὸν γυναικεῖον ἐρυθροῦν ῥοῦν κατακρατεῖ. Τὸ δὲ
τῆς ῥίζης τοῦ Πενταφύλλου ἀφέψημα ὀδονταλ-
γίας θεραπεύει καὶ σηπεδόνας στόματος. Ἔτι δὲ
καὶ τεταρταῖον καὶ τριταῖον καὶ ἐφήμερον θεραπεύ-
ει τὰ φύλλα αὐτοῦ, εἴπερ ταῖς ἴσαις τοῦ πάθους
ἡμέραις ἰσάριθμα φύλλα μεθ᾽ ὑδρομέλιτος καὶ
πεπέρεως ἑψηθέντα καὶ τοῖς πάσχουσιν ἐπι-
δοθέντα πρὸς πόσιν. Ἡ δὲ τῆς Ἰδαίας ῥίζα στυπτι-
κὴ οὖσα αἱμοῤῥαγίαν καὶ αὐτὴ ἵστησιν. Ἡ δὲ τῆς
Χρυσοκόμης ῥίζα ἡπατικοὺς θεραπεύει καὶ ὑστέ-
ρας καθαρίζει μεθ᾽ ὑδρομέλιτος πινομένη. Περὶ δὲ
τούτων πάντων Ἑλλάδιος φησι πολλὰ ὁ Κλαζομένιος
καὶ Διοσκουρίδης. Ἔῤῥωσο τοίνυν καὶ βοήθει τοὺς πάσ-
χοντας φίλους σου. Ἐν Μέμφει μηνὸς Δύστρου
πέμπτῃ καὶ δεκάτῃ. ”

Καὶ οὕτω μὲν ἔχει καὶ τὰ τῆς Θεοπόμπου ἐπιστολῆς. Ἡ δὲ Λυκιακή, ἅμα δὲ ἡ Ἑλληνικὴ ἐπιτάφιος ἐπιγραφή, περὶ ἧς καὶ ἄλλοτε εἶπόν σοι, ἔχει ὡς ἐνταῦθα εἰκονίζεται.



Καὶ τὸ μὲν διάγραμμα τῆς ἐπιγραφῆς οὕτως ἔχει· ἥτις, κατ' ἐμὴν γνώμην, ἐστὶ λίαν σπουδαία: καὶ γὰρ γενήσεται ἡμῖν ἑρμηνεὺς πολλῶν λέξεων τῆς Λυκιακῆς γλώσσης, καθάπερ καὶ τῶν γραμμάτων αὐτῆς. Καὶ ἰδού, χάριν μικρᾶς περιεργίας, παραλληλίζω ἐνταῦθα τὰς Λυκιακὰς λέξεις πάσας πρὸς τὰς Ἑλληνικάς, ἅμα δὲ καὶ τὴν προφορὰν αὐτῶν δι' ἑλληνικῶν γραμμάτων σημειῶ σοι παραλλήλως. Καὶ δὴ ἄρχομαι ἀπὸ τοῦ Εὐαγγελικοῦ ἱερολογίου.

ΔΧ — δω = ὁ.
ΠΑFΕΔΡΧ — παγγεδααῶ = πιστεύων.
ϚΨ — συό = εἰς. | ΛΜΕ — εἰμέ = ἐμέ.
ЖFΙ — εὐγγί = καί.
ΕΑΔΑ — ἐαδά = ἐάν.
ΑΠΟΨΑΝΕ — ἀποθανέ = ἀποθάνῃ.
ΙΑΧϚΕ — ζαωσέ = ζήσεται.

Π+FΑϚΙΟΕ — πηγγασίοε = πηγασιον.
ΨΧΧΛΑΠΤΧ — ου χωλάπτω = καλύπτω. | ΧΡ — εἴαα = τόν.
ΜΑΡΤΨΡΕΧ — μαρτύρεσχ = μάρτυρα.
ϚЖΒΡ — σεϊεβάα = Κυρίου.
ΑFΛΨΨ — ἀγγέϊθουχ = γεννηθέντα
ΨΡ — ἰγάα = ἐν.
ΠΑΤΑΡΑΡΑ — παταράρα = πατάροις.
ΙΧΧ — ζειγώ = πόλει.
ЖΙΑ — εὐζά = τῷ | Α:) = πρώτῳ.
ΕΤΑΨ — ἐταιούω = ἔτει.
ΧΕ — εἰγέ = τῆς | ϚΝF — σνς' = 256.
ΟΛΨΜΠΙΑΔΤ — ὀλυμπιάδεϊ = ὀλυμπιάδ.

ЖFΙ: — εὐγγί = καί. | ΔΕΨΑΜΑΝ: — δεθαμάν = τελευτήσαντα. | ЖΙΑ — εὐζά = τῷ. B:) — β' = 2 |. ΕΤΑΨ — ἐταούω = ἔτει. | ΧΕ — εἰγέ = τῆς. | ὀλυμπιάδει — ΟΛΨΜΠΙΑΔΤ = ὀλυμπιάδος. | ΨΡ — ἰγάα = ἐν. | ΜΨΡΑΕ — μυχράε = μύροις. | ΙΧΧ — ζειγώ = πόλει. | ΑΙΚΙϚΜΧϚΨΕ — αἰκισμοσιαγέ = αἰκισμοῖς. | ΤΑΨ — ταώω = ὅτι. | ΤΨ = τουω = οὐκ. | ΑΡΝΑΜΨ — ἀρναμιγ = ἠρνήσατο. | ΧΡ — εἴαα = τόν. | ΚΨΡΙΟΕ — κυριόε = κύριον. | ΧΕ — εἰγέ = τῆς. | ΔΟΞΕ — δόξε = δόξης. | ΙΧϚΧΕ — Ἰησωέ = Ἰησοῦν. | ΧΡΙϚΤΧΕ — Χριστωέ = Χριστόν. | ΑЖΕ — ἄσχε — ἀλλά | ΔΑΔΨΜΧΛ+ — δαδσμωλή = ὡμολόγησεν | ΑΧΡ — αεϊγάα = αὐτόν. | ΤΨΒΑ — τυόβα = ἐνώπιον. | ΧΧ — εἰγώ = τοῦ. | ΤΨΡΑΝΕΧ — τυράνεω = τυράννου. | ΠΑϚΙΚΛΕΨΕ — πασικλέουε = πασικλέους. | ϚΑΝΧ — σανώ = μετά | ΨΡΡ — ἐσσούρρα = πάσης | ΓΑΡΡΑϚΕΒΤ — παρρασεβεϊ = παρρησίας.

Καὶ ταῦτα μὲν οὕτως ἅλις ἐχέτω: Ἡ δὲ Λυκιακὴ γλῶσσα ἐστὶ κρᾶμα ἔκ τε τῆς Παρθικῆς καὶ τῆς ἀρχαίας Μηδικῆς καὶ τῆς Ἑλληνικῆς· τὰ δὲ γράμματα αὐτῆς τὰ μὲν ἐστὶν Ἑλληνικά, τὰ δὲ ἐγχώρια, ἢ ἅπερ εἰσὶ τάδε:

Α. Β. F. Δ. Ε. Ι. +. Ψ. Ι. Κ. Λ. Μ. Ν. Ξ. Ο. Π. Ρ. Ϛ. Τ. Ψ. Ψ. Χ. Ψ. Χ.
(ἄ. β. γγ. δ. ε. ζ. η. θ. ι. κ. λ. μ. ν. ξ. ο. π. ρ. σ. τ. υχ. φ. χ. ψ. ω.)

Πλὴν δὲ τῶν εἰκοσιτεσσάρων τούτων γραμμάτων ἔχει τὸ Λυκιακὸν ἀλφάβητον καὶ τὰς διφθόγγους καὶ τὰς τριφθόγγους, αἵπερ ἀποτελοῦσι ἢ αὗται μέρος τοῦ ἀλφαβήτου, καὶ αἵπερ εἰσὶν αἱ ἑξῆς:

Ρ. Ψ. Λ. Ж. Χ. Ψ. Ж. Ψ. Ψ. Ψ. Ψ. Ψ. Ж. Ψ.
(ἄα: οὐ: εἰ. εἰέ: εἰγ: ἰγ: ευ: ἰαγ: ὑο: σω: σφε: ωὐ: ὠεχ: ἐσσοῦ:)

πρὸς ταῖς διφθόγγαις δὲ ἔχει καὶ τάδε:

Ж. Μ. Ͱ. >. <. Ͻ.
(σχ. σμ. ι'. διαζεύγματα.)

Ἡ δὲ προφορὰ τῶν τε 24 γραμμάτων, ὥσπερ καὶ τῶν λοιπῶν ἐσημειώθη, ὡς καθορᾶται, δι' ἑλληνικῶν μικρῶν γραμμάτων. Ἠδυνάμην δὲ καὶ πλείω γράψαι σοι περὶ τῆς γλώσσης ταύτης· ὅτι πλὴν τῆς πλακὸς ταύτης, τῆς ἢ ἐν τῷ νεκροταφείῳ τῆς μητροπολιτικῆς ἐκκλησίας Μυρῶν ἀνακαλυφθείσης καὶ ἄλλας εἶδον καὶ ἀνέγνων τοιαύτας διγλώσσους. Ἔγραψε δὲ ὁ Οὐράνιος περὶ τῆς γλώσσης ταύτης γραμματικὸν ὑπόμνημα, καὶ λεξικόν, καθάγε καὶ ἄλλοτε ἔγραψά σοι. Νῦν δὲ μηδὲν ἕτερον ἔχων εἰπεῖν σοι, λέγω σοι τὸ χαῖρε κατ' ἄμφω, δεόμενος ἅμα, ἵνα μοι κοινοποιήσῃς τὰ δέοντα περὶ τῆς εἰς τὸ Λιβάνιον ὄρος μεταβάσεώς μου.

ὁ ἀεὶ σὸς
Κ. Σιμωνίδης

ἐν Σιναίῳ τῇ 15' Ἀπριλ. ? ἔτ. ᾳωνβ'.